ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΕΛΕΤΙΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας, Λιβύης, Πενταπόλεως, Αἰθιωπίας, καὶ πάσης γῆς Αἰγύπτου.

ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ ΠΑΠΑ

ὡς ἐν εἴδει ἐπιστολῶν.

Μάρκος κεφάλ. θ.

Πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων· καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς, εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος.

Μάρκος κεφάλ. ι.

Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς, οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν, κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἂν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται διάκονος ὑμῶν· καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος.

Ματθαῖος κεφάλ. κγ.

Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί, εἷς γὰρ ἐστιν ὑμῶν ὁ καθηγητὴς ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε· καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γὰρ ἐστιν ὑμῶν ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς· μηδὲ κληθῆτε καθηγηταί, εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς ὁ Χριστός· ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος.

Παῦλος πρὸς Κορινθίους .α. κεφάλ .γ.

Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός.

Πρὸς Ἐφεσίους κεφάλ. β.

Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ.

Πρὸς Ἐφεσίους κεφάλ. α.

Ἄρα οὖν οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ.

MVSEVM
NICVM

ΜΕΛΕΤΙΟΣ ΕΛΕΩ-
ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ
ΑΛΕΞΑΝΔΡΕΙΑΣ:

Τῷ ἐνδοξοτάτῳ καὶ ἐκλαμπροτάτῳ εὐσεβεστάτῳ τε καὶ ὀρθοδοξοτάτῳ αὐθέντῃ καὶ δεσπότῃ Ὀστροβείας, ἀρχηγῷ Λιτυανείας καὶ Κυοβείας· καὶ κριτῇ Βλαδημοιρείας τῷ μεγαλοπρεπεστάτῳ Κνέζῃ Βασιλείῳ, καὶ τοῖς λοιποῖς ὀρθοδοξοτάτοις καὶ ὑπερφυέσιν ἄρχουσι καὶ δεσπόταις πάσης μικρᾶς Ῥωσίας, τοῖς τε εὐλαβεστάτοις τῶν Ἱερέων καὶ παντὶ τῷ φιλοχρίστῳ λαῷ τῶν ὀρθοδόξων τῷ κατὰ πᾶσαν ταύτην τὴν ἀρχὴν εὑρισκομένων, υἱοῖς ἐν κυρίῳ ποθεινοτάτοις, χάριν ἔλεος καὶ κατ' ἐχθρῶν νίκην καὶ τρόπαια παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΤΟῦτο ἦν ὅπερ ἔλεγεν ὁ Σωτὴρ ἡμῶν (ἀδελφοί) προαναφωνῶν τὰς τῶν μελλόντων καταλήψεσθαι τὴν οἰκουμένην δεινῶν τρικυμίας, ἀκμαζούσης τῆς κατὰ τὸν ἀντίχριστον τυραννίδος. Ἔλεγεν οὖν ὅτι Καὶ οἱ ἀστέρες ἀπὸ τοῦ οὐρανοῦ πεσοῦνται· οὐρανὸς δέ ἐστιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τῶν ἐπιγείων ὑπεραρθεῖσα, ὡς ἐκάλυψεν (κατὰ τὸν θεσπέσιον Ἀββακοὺμ) ἡ τοῦ Σωτῆρος δόξα, τὴν Ἐκκλησίαν πᾶσαν παντοίαις κατακοσμήσασα χάρισι, καὶ θεῖσα ἐν τούτῳ τῷ τοῦ οὐρανοῦ στερεώματι τινὰς δίκην ἀστέρων (κατὰ τὸν Ἀπόστολον) λάμποντας, καὶ ἐπέχοντας λόγον ζωῆς· ἐκ τούτου τοίνυν τοῦ οὐρανοῦ ἴδομεν τε πεσόντας ἀστέρας, καὶ δὴ βλέπομεν πίπτοντας τινὰς, οἳ τρόπον ἀστέρων ἔλαμπον· καὶ τυχὸν τις ἐστὶν ἀστὴρ μέγας ὑπαλλάξας καὶ τοὔνομα καὶ τὴν ἀξίαν ὁ πρότερον μὲν αὐτὸς ἐκπεσών, γενόμενος δὲ τοῖς πίπτουσιν τοῦ πίπτειν παραίτιος· τοσούτῳ ἀξιοπιστοτέρας τὰς ἐκπτώσεις καθηγούμενος τοῖς λοιποῖς, ὅσῳ λαμπρότερον τῶν λοιπῶν ἀεὶ ἀνέτελλε φαεινοτέραις ἀκτῖσι καταλάμπων τὰς τῶν ὁμοχρόων ἀστέρων χορείας· νῦν ἐρριμμένος αὐτὸς εἰς γῆν ἄνωθεν (καίπερ εἰθισμένος τὸν θρόνον ἔχειν ἐπὶ νεφελῶν (τοῦτο δὴ τὸ τῆς τροπῆς αἴτιον,) καὶ εἶναι ὅμοιος τῷ ὑψίστῳ) γίνεται τοῖς ἀπωλείας ἡγεμών· ἐν οὖν τῶν δεινῶν κοὐ τὸ τυχὸν τῆς τοῦ Ἀντιχρίστου ἀπο-

Ματθ. κδ.

Ἀββακ. γ.

σωτηρίας τὸ πίπτειν τοὺς ἀστέρας οὐρανόθεν· ὃ καὶ βλέπομεν γινόμενον. Ἀκούομεν γὰρ σὺν ἀ-
θυμίᾳ πάνυ πολλῇ, ὅτι τῶν παρ' ὑμῖν ἀρχιερατευσάντων τινὲς, καταλιπόντες (φεῦ) τὴν
ἀποστολικὴν διδασκαλίαν, ἐν ᾗ ἐβάπτισαί τε καὶ ἐβαπτίσθησαν· ἣν ἐδιδάχθησαν καὶ ἐδίδαξαν·
ἣν παρέλαβον καὶ μέχρι τοῦ παρέδωκαν, καταφρονήσαντες καὶ τῆς τοῦ Σωτῆρος διαγωγῆς,
στενῆς οὔσης καὶ τεθλιμμένης, ἀλλ' ἀπαγούσης εἰς ζωὴν τὴν αἰώνιον, ἀπηυτομόλησαν εἰς
τὴν πλατεῖαν τε καὶ εὐρύχωρον· ὑμᾶς δὲ τοὺς παρὰ Θεοῦ λαχόντας τὴν ἀρχὴν καὶ ἡγεῖσθαι
τῶν πολλῶν σὺν τῷ πιστῷ τῶν ὀρθοδόξων λαῷ, διαμεῖναι ἐν τηλικούτῳ σάλῳ ἀσαλεύτους·
Ματθ. κε. " Εὖ δοῦλοι ἀγαθοὶ (οἷς ἐρεῖ ἐρχόμενος ὁ οἰκοδεσπότης) δεῦτε εἰσέλθετε εἰς τὴν χαρὰν
" τοῦ Κυρίου ὑμῶν· τίνων οὐκ ἐστὲ ἐπαίνων ἄξιοι; τίνων οὐ στεφάνων; τίνων οὐ γερῶν; ὄντως τοῦ
" πνεύματος τοῦ ἁγίου ἐστὲ φυτὰ, οὐ κάλαμοι ὑπὸ ἀνέμων σαλευόμενοι· οἰκοδομὴ ἐστὲ καὶ
Εφεσ. β. " γεώργιον Χριστοῦ (κατὰ Παῦλον εἰπεῖν) Οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ
Κορινθ. α. " προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ· Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι πα-
κεφ. γ. " ρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός· ὃς ἐστιν ἡ πέτρα Παῦλος βοᾷ· ἐν ταύτῃ τῇ
" πέτρᾳ τῇ ἀληθινῇ οἰκίᾳ ἐστὲ ὑμεῖς εὐσεβέστατοι ἀδελφοὶ οἰκοδομηθέντες· καὶ διὰ τοῦτο, οὔτε
πνοαὶ βιαίων ἀνέμων, οὔτε συῤῥάξαντες ποταμοὶ, περισαλεῦσαι δεδύνηνται· Οἱ δὲ ἐξ
Ιωαν. ἐπ. α. ἡμῶν ἐξεληλυθότες, οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν (κατὰ τὸν θεολόγον Ἰωάν-
κεφ. β. " νην εἰπεῖν) μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἐξῆλθον ἐξ ἡμῶν ἀγαπήσαντες (καθὼς
Ιωαν. ιβ. " ἐκεῖνοι οὓς ἀναγράφει τὸ ἱερὸν εὐαγγέλιον) τὴν δόξαν τῶν ἀνθρώπων, ἢ τὴν δόξαν τοῦ
πρὸς Τι- " Θεοῦ· ἢ καθὼς φησὶν ὁ Ἀπόστολος, Ἀγαπήσαντες τὸν νῦν αἰῶνα, καὶ προτιμήσαντες τὴν
μοθ. β. " παροῦσαν τῆς σαρκὸς εὐπάθειαν, τῆς μελλούσης δόξης τοῦ πνεύματος· φεῦ τοῦ κέρδους, ζη-
κεφ. δ. " μιοῦντος τὴν ψυχήν· φεῦ τῆς φιλοζωΐας, προξενούσης θάνατον· φεῦ τοῦ σαρκικοῦ φρο-
νήματος, ἀντιπολεμοῦντος τῷ πνεύματι, καὶ τεκταινομένου τὴν ἔχθραν πρὸς Θεόν·
φεῦ τοῖς κατὰ σάρκα ζῆν προῃρημένοις, ὅτι Θεῷ ἀρέσαι οὐ δύνανται. Ἀλλ' ὑμῶν μὲν εὐ-
σεβέστατε Κύριε Βασίλειε, καὶ ὀρθοδοξώτατοι ἄρχοντες, καὶ φιλόθεοι ἱερεῖς σὺν τῷ χριστω-
Ματθ. ε. " νύμῳ πληρώματι, τὰ γέρα, οἱ στέφανοι, καὶ (καθὼς λέγει ὁ Κύριος) ὁ μισθὸς πολὺς ἐν τῷ
οὐρανῷ· διότι τὴν ἀληθινὴν πίστιν ἐνστερνισάμενοι, καὶ τὴν εἰς Θεὸν εἰλικρινῆ καὶ σωτήριον
ἀγάπην τῶν πατρῴων δογμάτων καὶ ἐθῶν, οὐδ' ὅσον ἀνέχεσθε παραστρατεῦσαι, μηδὲ πα-
ραστρατοίητε Χριστῷ βασιλεῖ· μὴ τὴν πτωχείαν αἰσχυνόμενοι τοῦ Χριστοῦ· ἀλλὰ τὸν σταυρὸν
αὐτοῦ φέροντες, καὶ Χριστῷ συμπάσχοντες κατὰ τὸν νῦν αἰῶνα, ἵνα κατὰ τὸν μέλλοντα συμ-
βασιλεύσοιτέ γε μετὰ πολλῶν τῶν ὄντων μὲν ἐσχάτων διὰ τὸ δῆθεν τῆς ἀξίας εἶναι τῆς κο-
σμικῆς· ἐσομένων δὲ πρώτων τῇ τοῦ Θεοῦ δόξῃ τε καὶ λαμπρότητι· πολλῶν τῶν λεγομένων
πρώτων νῦν διὰ τοὺς ὑψηλοὺς τῆς ἀρχιερωσύνης βαθμοὺς, ἐσχάτων ἐσομένων διὰ τὴν στέ-
ρησιν τῆς δόξης· ἀλλὰ ταῦτα μὲν ὑμῖν ἐλπίζομέν τε καὶ εὐχόμεθα ὡς τοῖς ὀρθοδόξου πίστεως
ὑπερμάχοις τε καὶ ὑπερασπισταῖς παρὰ Θεοῦ προβεβλημένοις. Αὐτοὺς δὲ τοὺς ἀποστήσαντας
Ψαλ. ριη. " ἀπὸ τῶν δικαιωμάτων τοῦ Θεοῦ, ὡς φησὶ Δαβὶδ ὁ θεοπάτωρ· αὐτοὺς ἂν ἐροίμην τοὺς ἀπο-
στάτας· ἀνθ' ὅτου ὦ 'γαθοὶ, τί τε παθόντες τὴν τοῦ Χριστοῦ καταλιπόντες μάνδραν, τὴν Ἀνα-
τολικὴν φημὶ Ἐκκλησίαν, ἐν ᾗ ἀνέτειλέ τε καὶ ἐν ᾗ ἀναπαύεται ὁ ἥλιος τῆς δικαιοσύ-
νης Χριστός· καὶ ὅθεν τὴν οἰκουμένην ἐφώτισεν, ἀνθ' ὅτου τίνος ταύτην τὴν τοῦ καλοῦ
ποιμένος αὐλὴν καταλιπόντες, εἰς τὴν τοῦ μόνου λέγεσθαι βουλομένου πάπα συμμορίαν
εἰσεπηδήσατε; νοσφισάμενος γὰρ ἑαυτῷ ὁ Ῥώμης ἀρχιερεὺς ἀρχήν τινα τυραννικὴν, καὶ
σώματα τετυράννηκεν, ἰδιοποιησάμενος τὸ κοινόν· πάπας βουλόμενος λέγεσθαι μόνος, καὶ

μόνος

μένος εἶναι τῆς Ἐκκλησίας ἀρχὴ καὶ κεφαλή· τίνα σημεῖα, τίνα τέρατα ἰδόντες, ἢ γ' ἄλλως καὶ τοιοῦτα, ἅπερ (οἷα καὶ ψευδοχρίστοις καὶ ψευδοπροφήταις ὁ ἀληθινὸς Χριστὸς μέλλειν πράττειν προείρηκεν, ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς) οὐ ἰδόντας εὔλογον ἦν ἀκολουθεῖν, ἀποστατοῦντες τῆς παραδοθείσης διδασκαλίας; τί τοίνυν ἰδόντες εἰς αὐτὸν ἀπὸ τῶν ἁγίων πατέρων, ἀπὸ τῶν ἀποστόλων, ἀπ' αὐτοῦ τοῦ Σωτῆρος, εἰς αὐτὸν τὸν πάπαν ἀποσκιρτήσετε; ὅτι μεγάλα τινὰ λαλεῖ περὶ ἑαυτοῦ, καὶ ἑαυτῷ ἀξίαν τινὰ καὶ ἐξουσίαν χαρίζει, δι' ἧς καὶ τὴν τοῦ υἱοῦ τοῦ Θεοῦ ἀρχήν τε καὶ αὐθεντίαν καταβάλλει; ἀλλὰ τοῦτο θείῳ τινὶ ἴδιον ἐπῆλθε προεῖπε Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνήρ· ᾧ στόμα ἦν

Δανιὴλ ζ.

μέγα λαλοῦν, καὶ χριστιανῶν ἀκοαῖς ἀποτρόπαιον· τίς γὰρ ἂν τῶν εὐσεβῶν περιαιρουμένην ἀνάσχοιτο τὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀρχὴν παρασυληθῆναι τὸ παράπαν, μὴ ὅτι γε λυμαίνεσθαί τε καὶ ἀνατρέπεσθαι; ἣν παρὰ τοῦ πατρὸς αὐτὸς λαβών, ἐπ' ὤμων ἦρε περιποιησάμενος τῷ ἰδίῳ αἵματι; ἢ οὐχὶ τὸ ἑαυτὸν ἀντὶ Χριστοῦ καθολικὴν κεφαλὴν τῆς καθολικῆς Ἐκκλησίας ἀναστηλώσασθαι, αὐτόν ἐστι τὸν Χριστὸν κατασείειν τῆς ἀρχῆς; ἢ οὐχὶ ὁ Ῥώμης τῆς πρεσβυτέρας πάπας, καθολικὴν κεφαλὴν τῆς καθολικῆς Ἐκκλησίας ἑαυτὸν πόρρωθεν καὶ κατὰ μικρὸν ἀρξάμενος, νῦν εἰς τέλος κατέστησεν; εἰ γὰρ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, κεφαλήν, ἀρχήν, ἢ ὅ,τι ἂν εἴποις, ἑαυτὸν ἔλεγεν, εἶχεν ἂν λόγον ὁ λόγος, ἑκάστης ἐπαρχίας ἴδιον κεκτημένης ἀρχηγόν· περὶ οὗ φησιν ὁ κανὼν τῶν ἱερῶν ἀποστόλων, Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν ἄνευ τῆς ἐκείνου γνώμης· ὃ καὶ

Ἀποστόλων κανών. λδ'.

οἱ ἐν Ἀντιοχείᾳ διωρίσαντο ὡς ἀρχαῖον κανόνα τῶν πατέρων· καθολικὴν δὲ κεφαλὴν καθολικῆς Ἐκκλησίας, ἡ εὐαγγελικὴ ἀλήθεια, μόνον οἶδε, μόνον κηρύττει τὸν Χριστόν· καὶ τοῦτο διδάσκει Παῦλος μεθ' Ἐφεσίων ἡμᾶς· Αὐτὸν (φάσκων) αὐτὸν (τὸν Χριστὸν) ἔδωκεν (ὁ πατὴρ) ὑπὲρ πάντα κεφαλὴν τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ· φανερὸν δὲ

Ἐφεσ. α.

ὅτι τὸ σῶμα τοῦτο τὸ καθολικόν, καὶ ἀκέφαλον, τέρας ἂν εἴη· καὶ τέρας οὐδὲν ἧττον εἴη ἄν, ὂν δικέφαλον· διὸ καὶ Χριστὸν ἔχει καθολικὴν κεφαλήν, ἵνα μὴ τέρας εἴη, ὂν ἀκέφαλον· καὶ μόνον Χριστὸν καθολικὴν ἔχει κεφαλήν, ἵνα μὴ τέρας ᾖ, ὂν δικέφαλον. Ἀλλὰ Πέτρῳ (φασὶν) εἶπεν ὁ Σωτήρ· Σὺ κληθήσῃ Κηφᾶς· ἀλλὰ Κηφᾶς (καθὼς αὐτὸς ἡρμήνευσεν ὁ εὐαγγελιστὴς) Πέτρον οὐ κεφαλὴν σημαίνει· Ἀλλὰ σὺ εἶ Πέτρος (ἔφη ὁ Σωτὴρ) καὶ ἐπὶ

Ματθ. ις.

ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ τί τοῦτο; μὴ πέτραν εἶπεν; σὺ εἶ Πέτρος, οὐ πέτρα· καθὼς ἐσημειώσατο καὶ ὁ θεσπέσιος Αὐγουστῖνος· Σὺ εἶ (φησὶ) Πέτρος ἐκ τῆς πέτρας ἣν ὡμολόγησας, Πέτρος καὶ αὐτὸς παρωνομασθείς, ὡς ἐκ πίστεως πιστός· ἐγὼ δὲ ἐπὶ ταύτῃ τῇ πέτρᾳ ἣν ὡμολόγησας, ἐξ ἧς καὶ αὐτὸς Πέτρος κληθήσῃ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· Ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς Παύλου φωνή· οὐ γὰρ ἐπὶ τοῦ Πέτρου φησὶν Αὐγουστῖνος, ἀλλ' ἐπὶ τοῦ Χριστοῦ ἡ Ἐκκλησία οἰκοδομεῖται.

Αὐγουστ.

Οὐ γὰρ ἐπὶ σοὶ τῷ Πέτρῳ ἀλλ' ἐπ' ἐμοὶ τῷ Χριστῷ, λέγει Αὐγουστῖνος. Θεμέλιον γὰρ ἄλλον (Παῦλος βοᾷ) θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον ὅς ἐστιν Ἰησοῦς Χριστός. Ἀλλὰ φασὶν οἱ πατέρες κατὰ καιροὺς τὸν Ῥώμης μέγαν ἐπέγνωσαν· καὶ πρὸς αὐτὸν ἐν ἀνάγκαις προσέδραμον· ἀλλὰ τί μοι τὰ τῆς ἀγάπης καὶ ἀδελφικῆς συμπνοίας τεκμήρια, εἰς οἰκοδομὴν ἔρχεται τηλικαύτης ἀρχῆς, εἰ ἀδελφοὶ προσέτρεχον παρ' ἀδελφοὺς ἐν ἀνάγκαις (κατὰ τὴν θείαν γραφὴν) χρησίμους εἶναι ὀφείλοντας; Ἀλλὰ καὶ προσρήσεσιν ὅτι σεμνοτάταις ἀνευφήμουν ὡς μέγαν· ἐγὼ δὲ δίδωμι καὶ ὡς πρῶτον· λέ-

Ὁ αὐτός.
Κορινθ. α. κεφ. γ.

γει γὰρ Αὐγουστῖνος περὶ τοῦ μακαρίου Πέτρου, ὅτι πρῶτος ἦν ἐν τῇ τάξει τῶν ἀποστόλων·
εἰ τοίνυν τῆς τάξεως ἦν τῶν ἀποστόλων (οὐδεὶς ἀντερεῖ) εἰ καὶ πρῶτος ἦν, ἀλλ' ὁ-
μοταγὴς ἦν, καὶ τῶν ἀποστόλων εἷς· εἰ οὖν καὶ πρῶτον εἶναι δῶμεν, πάντως ἀδελφῶν· οὐ
πατὴρ γὰρ ἦν μόνος τῶν λοιπῶν ἁπάντων ἀρχιερέων· οὐκ αὐτὸς ἄρχων, καὶ διδάσκαλος
καθολικὸς μόνος αὐτὸς τῆς Ἐκκλησίας ἁπάσης· ἵνα δὲ καὶ δῶμεν ἀπόστολον εἶναι τὸν Ῥώ-
μης (ὅπερ οὐδὲ οἱ περὶ τὸν Ῥώμης εἴποιεν ἂν εὐχερῶς) ἵνα τοίνυν δῶμεν, ἀπόστολον εἶναι,
οὐκ ἐπίσκοπον Ῥώμης, τὸν Ῥώμης πάπαν, Πέτρου τε διάδοχον· Πέτρος αὐτὸς ὁ μακά-
ριος, ἀπόστολος ἦν, οὐ μόνος μέντοι· καὶ γὰρ καὶ οἱ λοιποί· πρὸς πάντας γὰρ εἶπεν ὁ Σωτὴρ
Ματθ. ι. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· καὶ πάλιν· Καθὼς ἀπέσταλκέ με
Ἰωάν. κ. ὁ πατὴρ κἀγὼ πέμπω ὑμᾶς· Σὺ ἀκολούθει μοι ἔφη τῷ Πέτρῳ· Ἀλλὰ δεῦτε ὀπίσω
Ματθ. δ. μου (καὶ ἑτέροις εἶπε) καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· Καὶ ἡμεῖς (φασὶν) οἱ ἀκο-
Ματθ. ιθ.
Ματθ. ιϛ. λουθήσαντές σοι· καὶ ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, καὶ τὰ λοιπά· δεσ-
Ἰωάν. κ. μεῖν τε καὶ λύειν ἔλαβε τὰς κλεῖς· Ἀλλὰ λάβετε πνεῦμα ἅγιον (πᾶσιν εἶπεν,) ἄν τινων
Ἰωάν. κα. ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· Ἀλλὰ ποίμαινε
Ματθ. κϛ. τὰ πρόβατά μου τρὶς τῷ Πέτρῳ μόνῳ λέγει· ἀλλὰ καὶ τρὶς μόνος ὁ Πέτρος ἠρνή-
σατο· καὶ εἰκὸς ἦν τῷ τριπλῷ τῆς ἐρωτήσεως, τὸ τρίτον θεραπευθῆναι τῆς ἀρνήσεως·
ἐπιφερομένης καὶ τῆς ἐπικυρώσεως τῶν ἀποστολικῶν ἰδιωμάτων, τῆς ἀποστολικῆς ἀξίας καὶ
ἐξουσίας· τοῦτο δὲ ἡ ποιμαντικὴ ἐστὶ δύναμις, καὶ χάρις· ἑκάστη τῶν ἐρωτήσεων, ἀποκα-
θιστώσης τε τὸν μακάριον Πέτρον ᾧ ἠρνήσατο Χριστῷ, καὶ τῇ Ἐκκλησίᾳ οὓς ἐφάνη παρα-
τραπεὶς διὰ τῆς ἀρνήσεως· Τέλος, τὰ τῶν πατέρων δόγματα καὶ αἱ τιμαὶ προσρήσεις
πρὸς τὸν Ῥώμης ἀρχιερέα, τιμῆς ἦν δηλωτικά, ἀδελφῶν εἰδότων φυλάττειν τὰ παραγ-
γέλματα τοῦ Σωτῆρος, ἐσχάτους ἑαυτοὺς τῶν λοιπῶν τιθεμένων· καὶ (κατὰ τὸν Ἀπόστολον) τῇ
τιμῇ ἀλλήλους ἡγουμένους ὑπερέχοντας· οὐ δόγματα δὲ οὐδὲ ψῆφοι τυραννίδα χειροτονοῦσαι,
οἵαν νῦν ὁρῶμεν συστᾶσαν κατὰ τῆς Ἐκκλησίας Χριστοῦ, ἀνατρέπουσαν καὶ ἃ αὐτότατος
ἐνομοθέτησεν ὁ Σωτήρ· Καὶ τότε μὲν τυχὸν ἐπιχρησίμως τῆς Ἐκκλησίας καὶ οἱ μακαρι-
ώτατοι Ῥώμης ἀρχιερεῖς, καὶ οἱ πρὸς τοὺς μακαριωτάτους ἐκείνους ἐπιστέλλοντες, τὸν θρό-
νον τῆς Ἐκκλησίας ἐκείνης ὑπερεσέμνυνον, προβαλλόμενοι ἐν καιρῷ τὰ τοῦ μακαρίου Πέ-
τρου, καὶ δὴ καὶ Παύλου, ὡς τοῦ θρόνου ἐκείνου καὶ μόνου περιστατοῦντων προτερήματα καὶ αὐ-
χήματα· ὥστε κἀκ τούτων ἐκ περιουσίας ἔχοιεν ἐπιστομίζειν τοὺς ἀντιφερομένους τῇ Ἐκ-
κλησίᾳ (ἦν γὰρ ἀκμὴν ἡ πρεσβυτέρα Ῥώμη τηλικούτου χειμῶνος ἀπείρατος) καὶ γὰρ καὶ
Γαλάτ. β. Παῦλος καὶ τοῦτον τὸν τρόπον τὰ κατ' αὐτὸν συνιστᾶν οὐ παρῃτήσατο· Ἐκ τῶν δοκούντων
(Γαλάταις φησὶ) στύλων εἶναι Ἰακώβου καὶ Κηφᾶ καὶ Ἰωάννου· νυνὶ δὲ καὶ μείζον παντὸς, καὶ
ἐπὶ καταστροφῇ τῆς Ἐκκλησίας, καὶ αὐτῶν τῶν εὐαγγελικῶν παραδόσεων, ἃς αὐτότατος
παρέδωκεν ὁ Σωτήρ, ἡ ἀρχὴ αὕτη ἐκτετύφωται· Ἢ οὐχὶ τυραννίς ἐστι (καὶ μηδείς μοι ἀλη-
θεύοντι δυσχεραινέτω· τοὺς γὰρ ἐλέγχοις μόνον ἂν εἴη ἀσεβῶν κατὰ Σολομῶντα μισεῖν·
φευκτέον τε οὐ τοὺς ἐλέγχους, ἀλλὰ τὸ ἐλέγχων ἄξια πράττειν τοῖς εὐφρονοῦσιν) ἀλλ' οὐχὶ
τυραννίς ἐστι, τὴν Ἐκκλησίαν πᾶσαν ὑποτάττοντας τῇ οἰκουμενικῇ συνόδῳ τούτῳ τῷ
τῆς ἀληθείας ὑποπτέρῳ τὴν τυραννικὴν τοῦ Ῥώμης πάπα συνιστᾶν ἀρχὴν, αὐτὰς
τὰς οἰκουμενικὰς συνόδους ὑποστρωννύντας αὐτῷ τῷ πάπα τῆς πρεσβυτέρας Ῥώμης; οὐ τοῦτο
τῆς Ἐκκλησίας ἐστὶν ἐπανάστασις καὶ ἀνδραποδισμός; πρὸς δὴ τοῦτο τί ἂν τις εἴποι δικαιό-
τερον, ἢ ὃ φασὶν οἱ ἐν Καρθαγένῃ πατέρες ἅγιοι πρὸς τὸν Ῥώμης ἀρχιερέα (ἱερὰ ὅρα-

σαν

ὡς ἐκεῖνοι) ἀποστέλλοντες; Τέσσαρα γὰρ (φασὶν) ἐνετειλάμεθα (τοῖς Ῥωμαίων πρέσβεσιν) ἅμα ἡμῖν πορευθεῖσι· ἵν᾽ ὦσι περὶ ἐγκλήτων ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαίων Ἐκκλησίας ἱερέα, καὶ τὰ λοιπά· οἷς παρακαλοῦντες ἐπιφέρουσι· Φυλαχθῶσι δὲ περὶ ἡμᾶς, ἅτινα καὶ μὴ λαλούντων ὑμῶν, ὀφείλουσι φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ (οὕτω γὰρ ἐκρίνετε ἡ τυραννὶς) ἀπὸ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἣν σοι ὁ Ὕψιστος ἐδωρήσατο, καὶ αὐτὸς ἐπὶ μίαν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου (ὑπὸ γὰρ τούτων τὸ κράτος ἔχειν διισχυρίζεται τηνικαῦτα ὁ Ῥώμης ἀρχιερεὺς, ὃ νῦν εἰς θείας τινὰς ἀναφέρουσιν ἀποκαλύψεις) Ἡμεῖς γὰρ (φασὶν οἱ πατέρες ἐκεῖνοι) ἡμεῖς πλείστοις ἐντυγχάνοντες βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐν ῥωμαϊκοῖς βιβλίοις (οὐδέ τε τίνες εἰσὶν οἱ παραφθείροντες τὰς βίβλους, ὡς καὶ νῦν ποιοῦσιν ἐν ταῖς τῶν διδασκάλων βίβλοις, καὶ προσχαράττοντες τοῖς τῶν βίβλων προσθήκαις τὰς φθορὰς, εἰ καὶ ἐπὶ σεμνοτέρῳ ὀνόματι, τῷ, δηλονότι ἐπιδιορθώσεως· λέγουσι γὰρ τὰ τοῦ (φέρε εἰπεῖν) Αὐγουστίνου ἅπαντα (ὡς ἐν τοῖς ἐν Ἑνετίησι τετυπωμένοις ἐγγέγραπται) διορθωθέντα, ἀφαιρεθέντων τῶν δυναμένων αἵρεσίν τινα ἐμποιεῖν, ἢ ἄλλως πῶς τὰς τῶν πιστῶν διανοίας λυμαίνεσθαι) Ἡμεῖς οὖν φασὶν οἱ ἐν Καρθαγένῃ πατέρες οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐν ῥωμαϊκοῖς βιβλίοις, ὃν εἶπον ἐν τῷ προλεχθέντι κομμονιτορίῳ αὐτόθεν ἀποστείλαντες· ὅμως ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲν βιβλίον ἐκεῖσε ταῦτα εὑρεῖν ἠδυνήθημεν ἐκ τῶν Ἀνατολικῶν Ἐκκλησιῶν (οἷ λέγετε ποῖ προστρέχουσιν οἱ πατέρες, καὶ τίσιν ἀντιλέγουσιν οἱ περὶ τῆς [illegible] πίστεως τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἀμφισβητοῦντες) ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα δύνασθαι τὰ αὐθεντικὰ ἔτι μᾶλλον εὑρεθῆναι (καὶ δὴ καὶ εὑρέθησαν, καὶ ἐστάλησαν, καὶ ἐστέρχθησαν) ἡμῖν προσενεχθῆναι μᾶλλον ποθοῦμεν· διὸ καὶ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν ἵνα γράψαι καὶ αὐτὸς ἐπὶ μᾶλλον καταξιώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν ἱερεῖς· τουτέστι τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρείας, καὶ τῆς ἐν Κωνσταντινουπόλεως· πατριαρχικαὶ γάρ αὗται· καὶ τὰ ἑξῆς· μετὰ δὲ τὸ λαβεῖν ἃ ᾔτουν ταῦτα, εἰς Ῥώμην ἀποστέλλουσι πρὸς Κελεστῖνον σὺν προσφήσεσι σεμνοπρεπεστάταις· Ἱκετεύομεν ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγινομένους εὐχερῶς μὴ προσδέχεσθαι· μηδὲ τοὺς παρ᾽ ἡμῶν ἀκοινωνήτους κοινωνίαν τοῦ λοιποῦ θελήσετε δέξασθαι· ἐπειδὴ τοῦτο καὶ ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. εἰ γὰρ καὶ περὶ κατωτέρων κληρικῶν, καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ ἐπισκόπων βούλεται φυλαχθῆναι; καὶ αὖθις· Μάλιστα ὅτι ἑνὶ ἑκάστῳ συγκεχώρηται ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προσίσταται αὐτῷ πρὸς τὰς Συνόδους τῆς ἰδίας ἐπαρχίας· ἢ ἐπὶ μίαν εἰς οἰκουμενικὴν Σύνοδον ἐκκαλέσασθαι (τοῦτο γὰρ τὸ ἀνωτάτω κράτος τῆς ἐκκλησιαστικῆς ἐξουσίας κατὰ τοὺς τῶν ἁγίων πατέρων ὅρους καὶ θεσμούς. εἰ καὶ ὁ Ῥώμης ἑαυτῷ πάπας μηχαναῖς ὑποτάττειν ἐπείγεται· Εἰ μὴ ἄρα (τοῦτο οἱ πατέρες ἐπιφέρουσιν) εἰ μὴ ἄρα τίς ἐστιν ὅστις πιστεύσει ἑνὶ ᾡτινιδήποτε (σημειωτέον ὡς δριμύτατα καθάπτονται τῶν τοῦ πάπα Ῥώμης ἐπιχειρημάτων) ἑνὶ ᾡτινιδήποτε δύνασθαι τὸν Θεὸν ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς Σύνοδον συναθροιζομένοις ἱερεῦσιν ἀρνεῖσθαι, καθὼς ἀνερυθριάστως ἀπεναντίας τουτωνὶ τῶν ἁγίων πατέρων ἐκθύμως κηρύττουσιν οἱ τοῦ Ῥώμης πάπαι· ἐπιφέρουσι δὲ οἱ διακόσιοι πατέρες ἐκεῖνοι· Περὶ γὰρ τοῦ τινὰς ὡσανεὶ ἐκ τοῦ πλευροῦ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, οὐδαμοῦ τῶν πατέρων Συνόδῳ ὁρισθὲν εὑρίσκομεν· ἐπει-

δὴ

Συνόδος. 8.

Συνοδ. 8.

Συνοδ. 8.

Ἡ αὐτή.

δὲ, ὅσον πάλαι διὰ τοῦ αὐτοῦ Συνεπισκόπου ἡμῶν Φαυστίνου, ὥσπερ ἐκ μέρους τῆς ἐν Νικαίᾳ Συνόδου αὐτόθεν ἀπέσταλτο ἐν ταῖς ἀληθεστέραις ἀπογραφαῖς τῆς ἐν Νικαίᾳ, ἃς παρὰ ἐδεξάμεθα ἀπὸ τοῦ ἁγιωτάτου Κυρίλλου, τοῦ τῶν Ἀλεξανδρέων Ἐκκλησίας Συνεπισκόπου ἡμῶν, καὶ παρὰ τοῦ Προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει ἐπισκόπου πεμφθείσας ἐκ τῶν αὐθεντικῶν· ἅτινες ἔτι μὴν περὶ τούτου διὰ Ἰννοκεντίου τοῦ πρεσβυτέρου, καὶ Μαρκέλλου τοῦ ὑποδιακόνου, δι᾽ ὧν πρὸς ἡμᾶς παρ᾽ ἐκείνων ἀπεστάλησαν, τῷ τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ ἐπισκόπῳ τῷ προηγουμένῳ ὑμᾶς παρ᾽ ἡμῶν ἐξεπέμφθησαν, τοιοῦτον τε ποτὲ οὐκ ἐδυνήθημεν εὑρεῖν (ὅθεν καὶ ἐπιφέρουσι δριμύτερον καθαπτόμενοι τοῦ Ῥώμης) Ἐκβιαστὰς τοίνυν κληρικοὺς ἡμῶν τινῶν αἰτούντων, μὴ θέλετε ἀποστέλλειν μήτε παραχωρεῖν, ἵνα τὸν καπνώδη τύφον τοῦ κόσμου (ἴδε μοι τοῦ λόγου τὴν δύναμιν, ὡς τῷ πάπα ἐπιτιμᾷ Σύνοδος οὐδὲ οἰκουμενική) μὴ παραχωρεῖν (φασὶν) ἵνα τὸν καπνώδη τύφον τοῦ κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμετέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προφέρει· Ταῦτα δὲ καὶ πλατύτερον ἐξεθέμεθα, οὐχ ὡς ἡμετέροις βουληθέντες ῥήμασιν· οἷς οἱ πατέρες πρὸς τὴν τότε μὲν ἀρχομένην ἠρέμα πως, νῦν δὲ εἰς ἀλλόκοτόν τινα κορυφουμένην τοῦ Ῥώμης ἀρχὴν ἀποκριθῶμεν· ἀλλόκοτον δὲ ἔφην, καὶ τερατώδη δὲ φαίην ἂν καὶ βλάσφημον· καὶ αὐτὴν γὰρ τὴν τοῦ Σωτῆρος αὐθεντίαν (ὡς ἔφθην εἰπὼν) ὁ Ῥώμης ἀνατρέπει. οὐ μόνον γὰρ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ταπεινοῦν καὶ ὑποτάττειν τοὺς λοιποὺς ἀδελφοὺς, ἀλλὰ καὶ αὐτὸν τὸν πάντων Κύριον καὶ δεσπότην τὸν μόνον δυνάστην, ἀνατρέπων αὐτοῦ τὴν αὐθεντίαν· τούτου δὲ πολλῶν ὄντων τῶν δυναμένων μαρτυρεῖν, ἡμῖν ἓν τοῦτο ἀρκέσει.

Περὶ τῶν ἀζύμων.

Τοῦ γὰρ Σωτῆρος ἡμῶν παραδεδωκότος τῇ αὐτοῦ Ἐκκλησίᾳ τὰ φρικτὰ μυστήρια τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ τοῦ τιμίου αἵματος τὴν τοῦ κόσμου καθάρσιον θυσίαν ἐν εἴδεσιν ἄρτου καὶ οἴνου, αὐτὸς ὁ Ῥώμης ἀρχιερεὺς (ἵνα τὴν τῶν ἰουδαϊκῶν ἀζύμων σιωπήσω παρείσδυσιν) ἀντὶ τοῦ εὐαγγελικοῦ ἄρτου (εἰσάγει γὰρ καίπερ τοῦ Παύλου ἀντιφθεγγομένου, ὁ Ῥώμης ἀντὶ τῶν καινῶν τὰ παλαιὰ ἃ παρῆλθεν (ἔφη Παῦλος) τῇ χάριτι παραχωρήσαντα) ἵνα τοίνυν τὴν τῶν ἰουδαϊκῶν ἀζύμων σιωπήσω παρείσδυσιν, ἵνα σιωπήσω τὴν περὶ τοῦ ἁγίου πνεύματος διδασκαλίαν αὐτοῦ τοῦ Σωτῆρος, ὃς τηλικαύτης θεολογίας διδάσκαλος, καὶ φάσκων ὅτι ἐκ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα, παρὰ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης βεβίασται, δεινὴν προσθήκην προσθέντος ἐν τῷ τῆς Ἐκκλησίας συμβόλῳ, ἵνα μιᾷ πληγῇ, καὶ τὸν Σωτῆρα τρώσῃ τὴν κεφαλὴν τῆς Ἐκκλησίας, καὶ τὴν Ἐκκλησίαν τὸ σῶμα τοῦ Χριστοῦ· ἵνα τοίνυν ταῦτα σιωπήσω· τὸ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ μυστήριον (τόλμην παντότολμον τολμήσας) κεκαινοτόμηκεν, ἀφελὼν χριστιανοῖς, πᾶσι μὲν οὖσιν, ὁλόκληρον τὸ μυστήριον, οὔτε σαρκὸς οὔθ᾽ αἵματος κοινωνίαν παρέχων· ἀνδρωθεῖσι δὲ, τὸ ἥμισυ· ἵνα πάντας τὰ τοῦ Χριστοῦ μέλη, τοὺς τοῦ Χριστοῦ ἀδελφοὺς, ἢ ὅλου, ἢ ἐξ ἡμισείας στερήσῃ τοῦ Χριστοῦ. Ὢ τῆς τόλμης· ὢ τῆς ἱεροσυλίας· ὑστερώθεισα τῆς ἑαυτοῦ Ἐκκλησίας ὁ Χριστὸς· ἀποτέτμηται τοῦ ἰδίου σώματος ἡ κεφαλή. Ἔστι δὲ ταύτης τῆς κακίστης διαιρέσεως ἀρχιτέκτων, ὁ ἀντὶ Χριστοῦ εἶναι βουλόμενος τῆς καθολικῆς Ἐκκλησίας κεφαλή· ὢ τῆς ἀκορέστου τυραννίδος· καταβλάψασα, ἣ καταβλάπτειν ἐπιχειροῦσα τὴν Ἐκκλησίαν, ἤδη καὶ Χριστὸν αὐτὸν καταβλάπτειν ἐπιχειρήσει· τίνι λόγῳ παραχαράττετε τὴν τοῦ Σωτῆρος παράδοσιν; ὅτι οὕτως ἔδοξεν ὑμῖν τοῖς τοῦ Χριστοῦ οἰκείοις· ἔδοξε δὲ εὐλόγως διὰ τὸ, καὶ τό· πᾶς γὰρ ἀδικῶν, εἰς ἀπολογίαν ἑτοιμότατος·

Κορινθ. β. κεφαλ. ε.

ποιμένα τε· ἵνα δὲ ὅλως δῆθεν ὑπήκοοι εἶεν, καὶ μόνος εἶναι ὑπήκοος Χριστοῦ, πῶς ταύτην αὐτῶν τὴν δόξαν ἀνισοῦμεν, φερομένην κατὰ τῆς δόξης τοῦ υἱοῦ τοῦ Θεοῦ; οὗ ἀκούειν προσέταξεν ἡμῖν ὁ πατήρ; Αὐτοῦ γὰρ (φησὶν οὐρανόθεν) αὐτοῦ ἀκούετε· Πλὴν τίνες ὑμεῖς οἷς «Λουκ. θ. ταῦτα δοκεῖ; ἡμεῖς ἐσμέν, οἷς μόνοις πάντες ὑπήκοοι· ἡμῖν γὰρ μόνοις διδάσκειν, αὐθεντεύειν, νομοθετεῖν, (εἰ δὲ δοκεῖ) καὶ νομοθετεῖν ἐκ θείας (οὐκ οἶδα τινὸς) ἀποκαλύψεως πέπρωται· τοῖς δὲ λοιποῖς καὶ τὸν αὐχένα ὑποκλίνειν, καὶ τὸ οὖς ὑποθεῖναι οὕτως ὑπήκοον, ὥστε καὶ συνειδὸν καταφερόντων ἡμῶν τὰς τῶν πολλῶν ψυχὰς εἰς ᾅδου, μηδενὶ ἐξεῖναι τὸ παράπαν ἀντιλέγειν· καὶ τοῦτο ἐστὶ τῆς ἡμετέρας νομοθεσίας κεφάλαιον· Ὢ στόμα μέγα λαλοῦν (οἷόν περ εἶδε Δανιὴλ) καὶ μέγα λαλοῦν, καὶ Θεῷ κατεπαιρόμενον, καὶ ταπεινοῦν τοὺς Δανιὴλ ζ. ἁγίους τοῦ ὑψίστου διανοούμενον· καὶ χρόνους καὶ καιροὺς ἀλλοιοῦν· ἄρα προσέχειν ἀρεκτὸν τοῖς ἀνδράσι, ταπεινοῦν οὐ τοὺς ἁγίους μόνους τοῦ ὑψίστου, ἀλλ' ἤδη καὶ αὐτὸν τὸν τῶν ἁγίων ἅγιον καὶ ὕψιστον ἐπιχειροῦσι; Τί τοίνυν ἰδόντες προσεκολλήθητε τῷ πάπᾳ Ῥώμης, ἀποστασιασθέντες τῶν ὀρθοδόξων, πάλιν ἐρρίμμην τοὺς ἀποστάτας; ὅτι καιροὺς ἀλλοιοῦν διενοήθη; ἐγχειρεῖ γὰρ οὐδὲν τῶν πατρῴων καταλιπεῖν ἀνεπηρέαστον. Διὰ γὰρ τοῦτο νέον εἰσάγεται καλανδάριον, καὶ αὐτὸν ἐπιγραφόμενον τὸν Ῥώμης, ἵνα τοὺς παρὰ τῶν πατέρων ὁρισθέντας ἱερωτάτους τῆς κυρίας τῶν ἑορτῶν καιρούς, μόνος αὐτὸς ἐν ἀδείᾳ ὁ ἀνατρέπων καὶ ἀλλοιῶν, ὑποποιούμενος ἑαυτῷ τι τῆς τυραννίδος κράτος, [illegible] τοῦ κόσμου παντός. Περὶ τοῦ νέου καλανδαρίου. Ἀλλὰ τί διδάσκοντι τῷ πάπᾳ Ῥώμης πειθέντες, τὴν πατροπαράδοτον κατελείπετε διδασκαλίαν; τοὺς ἔσται ἡμέραι νεωτερισμοῦ; ἀλλὰ Παῦλος βοᾷ, Εἴ τις ὑμῖν εὐαγγελίζηται παρ' ὃ παρελάβετε, «Γαλάτ. α. ἀνάθεμα ἔστω· τοῦτο τὸ ἀνάθεμα καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου ὁρισθὲν κατὰ τῶν τολμησάντων προσθήκην τινὰ τῷ συμβόλῳ τῆς πίστεως, ἢ ἀφαίρεσιν ἐμποιῆσαι, καὶ φυλαχθὲν παρὰ πασῶν τῶν ἐφεξῆς ἁγίων Συνόδων, μόνος ὁ Ῥώμης ἀνέτρεψέ τε καὶ κατεπάτησε· καὶ πῶς γὰρ ἂν τοὺς πατέρας λογίσηται εἶναί τι, ὁ τὸν Σωτῆρα αὐτὸν κοινὸν ἡγησάμενος; Τί δαὶ καὶ διεροῦντες ἐν τῇ Ἀνατολικῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ, τὴν πρὸς αὐτὴν κοινωνίαν, ταῖς χρησταῖς (χρυσαῖς εἴποι τις ἂν οἰκειότερον) ἐλπίσι ταῖς ἐπαγγελλομέναις παρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας (εἴγε καὶ Ῥωμαϊκῆς) εἴ τις τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας πίστιν, καὶ τὰς τῶν πάλαι παραδόσεις ἀνέτρεψε) παρασυρέντες ἀπείπατε; Ὅτι φασὶν ἀπώλεσε τὴν βασιλείαν ἡ Ἀνατολικὴ Ἐκκλησία· ὢ τῆς ἀπάτης· ἀλλὰ πρῶτον μέν, τοῦτο, οὐ σήμερον ἢ χθὲς συνέβη· δεύτερον δέ, καὶ βασιλείας πλουτεῖ ἡ ὀρθόδοξος πίστις· καὶ ὁ Μοσχοβίας γὰρ κράτιστος βασιλεὺς ὀρθόδοξος· καὶ σύ γε ἡ ἀρχὴ λαμπροτάτη Κρέζη Βασιλεῦ, καὶ πολλοὶ κατά τε Ἀνατολὴν καὶ Δύσιν τὴν ὀρθόδοξον πίστιν πρεσβεύουσιν· ἀλλὰ τὸ τρίτον, καὶ οὐ Χριστιανοὶ οἱ Χριστιανοὶ διὰ τὴν ἐπίγειον βασιλείαν· αὐτὸς γὰρ ἔφη ὁ Σωτήρ, ὅτι Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ «Ἰωάν. ιη. τοῦ κόσμου τούτου· τί δαὶ τὸ ἱερὸν εὐαγγέλιον, καὶ τοῦτο οὐκ ἐδήλωσεν ἡμῖν πειρασμὸν εἶναι τοῦ διαβόλου τὰς τοῦ κόσμου βασιλείας προτείνειν εἰς ἀποστασίαν τὴν ἀπὸ Θεοῦ; τοῦτον δὲ τὸν πειρασμὸν ἀποδιοπομπούμενος ὁ Σωτήρ, οὐκ ἐδίδαξεν ἡμᾶς ἀπολύτως προσκυνεῖν τῷ μόνῳ Θεῷ, μηδὲν ἀποβλέποντας εἰς γηΐνας δόξας καὶ ἀπολαύσεις; πλὴν ἔστω, τεταπείνωται ἡ Ἐκκλησία ἡ Ἀνατολικὴ τὴν ἐπίγειον βασιλείαν ἀφαιρεθεῖσα (καὶ ταυτησὶ τῆς συμφορᾶς οὐκ ἀναίτιος ὁ Ῥώμης, ὁ τὴν Ἐκκλησίαν ταῖς καινοτομίαις σχίσας καὶ διαχωρίσας τοὺς ἀδελφούς, εὐχειρώτους τε ποιήσας τοὺς ἀνατολικοὺς τοῖς ὑπεναντίοις.) ἀλλ' ἔστω τεταπείνωται τὰ τῆς Ἐκκλησίας ἀποκηρυξαμένης τὸν ἔξω κόσμον· τί φατὲ (πρὸς τοὺς

ἀποστάντας πάλιν ὁ λόγος) οὐκ οἴδατε, οὐκ ἠκούσατε, οὐκ ἀνηγγέλη ὑμῖν ὅπως ὁ Χριστὸς
αὐτὸς ἡ κεφαλὴ τῆς Ἐκκλησίας ἐπολιτεύθη; ἆρα χρυσοϋφάντοις ποτὲ στολαῖς κεκοσμη-
μένος; πολυδαιδάλοις ἀνακτόροις; τραπέζαις πολυτελέσι; λαμπραῖς ποτὲ δορυφορείαις;
καὶ ταῖς ἄλλαις τοῦ βίου ἀπάταις; οὐ βασιλείας γνώδεις φαντασίαις ἐνδιαιτώμενος; οὐ
πτωχὸς ἦν ὁ Σωτήρ; οὐ ξένος; οὐ προσομιλήσας διωγμοῖς; κινδύνοις, ὀνειδισμοῖς, ὕβρεσι,
στενοχωρίαις, πληγαῖς, θανάτῳ, συκοφαντίαις; τοῖς δὲ ἰδίοις ὧδε βασιλείας ἀπεχθῆ; οὐ
συμπαθείας σαρκικάς; οὐ βίου συμμάχειαν; μᾶλλον δὲ πῶς οὐ θαυμάζετε ὅτι καὶ Ἀνατο-
λὴν τῆς βασιλείας περιτραπείσης, ἡ τῆς εὐσεβείας ὀρθότης (Θεοῦ συναιρομένου) ἔμεινεν
ἀκλινής; τοσούτῳ λαμπροτέρα, ὅσῳ καὶ βασιλείας δίχα βασιλεύει, τῆς τοῦ Σωτῆρος χάρι-
τος ἐν ταῖς ἡμῶν ἀσθενείαις τελειουμένης, καὶ βασιλευούσης τῆς Χριστοῦ πίστεως ἐν μέσῳ
τυράννων ἀσεβῶν· καὶ οἷα κρίνον ἐν ἀκάνθαις ἀκμαζούσης, οὐ σοφίᾳ (κατὰ ἀνθρώπους) κεκ-
τημένης τὴν ἰσχὺν, οὐ πλούτῳ, οὐ δυναστείᾳ κρατυνομένης, ἀλλὰ μόνῃ χειρὶ Θεοῦ· πῶς οὐ
τούτῳ μέγα; πῶς οὐ θαυμαστόν; τίνα οὐκ ἂν καταπλήξειεν, ὅτι ἡ τοῦ πάπα κατὰ τῆς Ἐκ-
κλησίας τοῦ Χριστοῦ τυραννὶς καὶ ἀρχαῖς χρωμένη, καὶ λαμπραῖς ἐλπίσι δελεάζουσα, καὶ πλού-
τῳ περιρρέουσα, καὶ φλογὶ καὶ σιδήρῳ πάντα πυρπολοῦσα, ὀλίγ' ὅμως κλονεῖται, γινομένη
καὶ τοῖς ἰδίοις ἤδη κατάγνωστος· ἡ δὲ τοῦ Χριστοῦ Ἐκκλησία πάντοθεν στενοχωρουμένη τε καὶ
πολεμουμένη, πάντοθεν φανεραῖς τε καὶ κεκρυμμέναις μηχαναῖς, μένει γ' ὅμως ἀδιάσειστος,
κρατοῦσα καὶ κρατύνουσα ἣν παρέλαβεν ἐκεῖθεν ἀπὸ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν θεσπεσίων
πατέρων πίστιν ἀπαράτρεπτον. Ἐπιστρέψατε οὖν ἐκ τῆς πλάνης καὶ σώθητε, ἐπιστρέψατε
υἱοὶ ἀφεστηκότες, καὶ μὴ ἐπί τισιν ἐγκλήμασιν ἐγκαλούμενοι, οἰόμενοί τε τοὺς ἐλέγχους ἐκ-
κλῖναι εἰς τηλικοῦτον βυθὸν ἑαυτοὺς ἐμβρίπτετε· ἀπαλλάχθητε μᾶλλον πάσης ἀκαθαρσίας,
“ καὶ μὴ προσαπολέσατε καὶ τὸν τῆς πίστεως θησαυρόν· Κρεῖττον ὑμῖν ἐστι, κρεῖττον πάντως
Ψαλ. πγ. “ παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ κυρίου (κατὰ τὸν θεοπάτορα Δαβίδ) ἢ οἰκεῖν ἐν σκηνώμα-
σιν ἁμαρτωλῶν· ταῖς ἡδοναῖς μὴ δουλεύωμεν ἀδελφοί. Μωσῆς ὁ μέγας συγκακουχεῖσθαι
προείλετο τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· κρείττονα πλοῦτον
ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν
μέλλουσαν μισθαποδοσίαν· καὶ πάντες δὲ οἱ πατέρες οἱ θεοφιλεῖς, ξένοι καὶ πάροικοι περιῆλ-
“ θον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· ὁ Σωτὴρ αὐτὸς δι'
“ ὀδυνῶν βαδίσας καὶ θανάτου σταυροῦ, τὴν τῆς σωτηρίας ἡμῖν ἔτεμεν ὁδὸν, τὸν αὐτὸν καὶ ἡ-
μῖν τρόπον διδάσκων βαδιστέον πρὸς τὴν ἀκήρατον ζωήν: Ἀλλὰ τυχὸν ἡ κατὰ τὸ πάσχα
καινοτομία κρεῖττόν τι τῇ Ἐκκλησίᾳ προσβλεψαμένη, πρὸς τὴν τοῦ πάσχα Ῥώμης παρα-
φέρει μάνδραν· μὴ φέροντας πορρωτέρω τῆς ἰουδαϊκῆς σκιαγραφίας τὰς ἡμετέρας τοῦ νέου
φυράματος τελεῖσθαι ἑορτάς· ἀλλ' αὕτη καὶ μόνη ἐξαρκέσειεν ἂν εἰς τὴν πάσης ἐπιτι-
μήσεως ἐνοχλὴν· συνέχεεν γὰρ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐπὶ μηδενὶ ἀγαθῷ· ἀδιάφο-
ρον γὰρ ὂν ὁποτέρως ἂν εἶχεν, οὐκ ὤφειλε παρασαλευθῆναι ζάλῃ σάλῳ πολλῷ τῆς Ἐκ-
κλησίας ἁπάσης· καὶ γὰρ καὶ τοῖς ἔξω νομοθέταις τῶν ἀτοπωτάτων εἶναι δοκεῖ, δίχα μεγάλης
καὶ ἀριδήλου τῆς ὠφελείας, παρασαλευθῆναι τι τῶν ὅσα χρόνον ἐκύρωσε μακρὸν ἡ τῶν λαῶν συγκατά-
θεσις· ὁ δὲ τῆς πρεσβυτέρας Ῥώμης πάπας τῶν ἄλλων ἁπάντων ἑαυτὸν ὑπεραίρων, καὶ πάντων
καταφρονῶν, ἔτι καὶ κατηγορεῖ τοῦ κανονίου τῶν πατέρων, ἵνα μὴ δόξῃ ἀλόγως τὸ καλανδάριον
καινοτομήσας· οὐκ εἰδὼς ὅτι τὸ τῶν πατέρων κανόνιον ὑγιεῶς ἔχει ὥστε τελεῖσθαι τὸ θεῖον
πάσχα μετὰ τὴν ἰσημερίαν τὴν ἐαρινὴν, καὶ μὴ μετὰ Ἰουδαίων καθὼς ἀπαιτεῖ ὁ ἀδόμενος
τῶν

τῶν ἱερῶν ἀποστόλων κανών· καὶ ὑγιειῶς ἔχοντος τοῦ κανονίου τῶν πατέρων, καὶ πατρικοῦ ὄντος, πολλαχῶς ἁμαρτάνουσι τοῦ προσήκοντος οἱ προσέχοντες ἑτέροις καλανδαρίοις· εἰ δὲ τοῦτο ἀπαιτεῖ ὁ κανὼν τὴν ἀπὸ τῶν Ἰουδαίων ἀναχώρησιν, φανερὸν δὲ πῶς ἀπογυμνιζόμεθα μᾶλλον της τῶν Ἰουδαίων ἀθέσμου λατρείας, μετὰ καὶ τῆς παραφυλακῆς τῆς ἰσημερίας τῆς ἐαρινῆς· πρόδηλον πᾶσιν ἐπικρέμαται ὁ κίνδυνος τοῦ ἐπιτιμίου ὃ διωρίσαντο οἱ ἐν Ἀντιοχείᾳ πατέρες, κωλύοντες ὅλως ἄλλως τὸ πάσχα ἐπιτελεῖν, ἢ παρέδωσαν οἱ πατέρες οἱ ἐν Νικαίᾳ· λέγει γὰρ οὕτω ὁ πρῶτος κανών. « Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Νικαίᾳ συγκροτηθείσης ἐπὶ παρουσίᾳ τῆς εὐσεβείας τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους πάσχα, ἀκοινωνήτους καὶ ἀποβλήτους εἶναι τῆς Ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα· » *Κανὼν α.* κατὰ γὰρ τὸ τῶν πατέρων ἐκείνων τῶν ἁγίων κανόνιον ὡς ἂν ἔχοιεν ἢ ἔξοις τὰ τοῦ χρόνου, οὔτε περὶ τῆς ἰσημερίας τῆς ἐαρινῆς, οὔτε μετὰ Ἰουδαίων πασχάζομεν ὡς διακελεύεται ὁ τῶν ἱερῶν ἀποστόλων ἕβδομος κανών· καὶ πάντοτε ἐν τῇ κυρίᾳ τῶν ἡμερῶν, ὡς ἡ ἐκκλησιαστικὴ παράδοσις ἀπαιτεῖ· τί φήσομεν καὶ πρὸς ταῦτας κρινόμενοι ἐπὶ Θεοῦ; καταπατοῦμεν καὶ τὰς ἐπιτιμήσεις ταύτας, ὡς καὶ τοὺς ἀναθεματισμοὺς ἐκείνους, τούς τε Παύλου ἐπὶ τοῖς νεωτερισμοῖς, καὶ τῶν συνόδων τῶν ἁγίων ἐπὶ ταῖς προσθήκαις τοῦ συμβόλου; καὶ τίς παραιτήσηται τοὺς τολμητείας τῆς δικαίας κολάσεως; ὁ Ῥώμης πάπας; ἀλλ᾽ εἷς οὐκ ἦν ἱκανὸς τὸν ὅρον λῦσαι τῶν πολλῶν, καὶ Ῥώμης πάπων, καὶ τῶν λοιπῶν πατριαρχῶν· οὐδὲ παραιτήσασθαι τοὺς ἐν αἰτίᾳ ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ· « Ἀλλ᾽ ἐπιστρέψατε οἱ ἀφεστηκότες, λέγει κύριος διὰ Ἠσαΐου ὑμᾶς ἀνακαλῶν. » *Ἠσαΐας*

Εἰ μὲν οὖν ἐπιστρέψωσιν ὦ θεοφιλέστατοι ἄρχοντες, ἔχουσι δὲ ἔγκλημα ἄλλο οὐδὲν αὐτοὺς εἶργον τῆς ἱερωσύνης, παρ᾽ αὐτὸ τοῦτο, ταυτησὶ δηλαδὴ τῆς ἀποστασίας, τυγχανέτωσαν συγγνώμης, συγγνώμην πρότερον αἰτήσαντες, καὶ μεμψάμενοι ἑαυτοῖς ὅτι εὐκόλως ἐξηπατήθησαν, καὶ ἐπαγγειλάμενοι κρείττονα συναναστροφήν· ταῦτα ποιοῦντες τυγχανέτωσαν συγγνώμης παρὰ τῆς καθ᾽ ἡμᾶς ἁγίας Ἐκκλησίας, καὶ ἡστινοσοῦν ἂν ἑτέρας φιλανθρωπίας. Οἱ δὲ ἔχοντες ἔγκλημά τι τὴν ἱερωσύνην ἀφαιροῦν, μενέτωσαν πάντως ἀργοί, κατὰ τὸν .θ. κανόνα τῶν ἐν Νικαίᾳ .τιη. θεοφόρων πατέρων. Τρεῖς δὲ τοὐλάχιστον τῶν ὀρθοδόξων ἀρχιερέων ἐπὶ τὸ αὐτὸ γενόμενοι (κατὰ τοὺς κανόνας τῶν θείων πατέρων, νεύσει τῇ σῇ θεοφιλέστατε Κύριε Βασιλεῦ συναθροισθέντες, συνδοκούντων καὶ τῶν λοιπῶν ἀρχόντων, καὶ τοῦ ἐμοῦ πνεύματος, πάρεσμεν γὰρ ὑμῖν οὕτω ποιοῦσιν ὡς ὑπομιμνήσκομεν) χειροτονησάτωσαν ἀρχιερέα καὶ μητροπολίτην ὀρθόδοξον· οἱ δέ γε ἀποστάται πραττέτωσαν τὰ ἑαυτῶν, ἔξω τῆς Ἐκκλησίας τοῦ Θεοῦ· Ὑμεῖς δὲ οἱ τοῦ Χριστοῦ συγκληρονόμοι καὶ κληρονόμοι Θεοῦ, ὁ περιούσιος λαός, τὸ βασίλειον τοῦ Σωτῆρος Χριστοῦ ἱεράτευμα, εἰρήνην ἄγετε, τὸ αὐτὸ φρονοῦντες καθὼς ἄνωθεν ἀπαρχῆς· καὶ πορευόμενοι ἀπὸ δόξης εἰς δόξαν· στερεούμενοι τῷ πνεύματι τῷ παρακλήτῳ, τῷ ἐκπορευομένῳ ἐκ τοῦ πατρός, ὡς ἐδίδαξεν ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς καὶ λόγος· ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ· αὐτὸς καὶ ἡμᾶς ἀξιώσειε θεάσασθαι ποτὲ ὑμᾶς (ὡς ἐπιποθοῦμεν) αὐτοψεί· καὶ ἀπολαῦσαι τῆς ὑμετέρας ἀγάπης, εὐφραινομένους τῇ τῆς πίστεως ὀρθοδοξίᾳ· ὁ δὲ Θεὸς ἡμῶν τῆς ἐλπίδος καὶ τῆς παρακλήσεως διαφυλάττειεν ὑμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων τῆς αὐτοῦ θείας χάριτος, ἀκράδαντον κεκτημένους τὸ ὀρθόδοξον φρόνημα, καὶ ταῖς τῆς εὐσεβείας κεκοσμημένους ἀκτῖσιν, ἵνα γένησθε ἄξιοι καὶ τῆς μελλούσης τοῦ Θεοῦ βασιλείας· ἧς γένοιτο πάν-

τας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ καὶ Θεῷ καὶ Σωτῆρι ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρὶ καὶ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐν Ἀλεξανδρείᾳ Πυανεψιῶνος .γ. ἱσταμένου .ζϛϛ.

ΜΕΛΕΤΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ Ἀλεξανδρείας, Λιβύης, Πενταπόλεως, Αἰθιοπίας, καὶ πάσης γῆς Αἰγύπτου:

Τοῖς εὐσεβεστάτοις καὶ ὀρθοδοξωτάτοις Ῥώσοις τὴν ἀνάπασαν τὴν ὑψηλοτάτην ἀρχὴν τῆς κρατίστης βασιλείας Πολωνίας παροικοῦσι, τοῖς ἐν κυρίῳ υἱοῖς ἀειποθήτοις τῆς ἡμῶν μετριότητος, χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ἀμήν·

Ἄνδρες Ῥῶσοι τῆς εὐσεβείας τὰ θρέμματα, τῆς ὀρθοδοξίας ὑπερασπισταὶ, οἱ τῇ προαιρέσει ἤδη καὶ μάρτυρες, καὶ πρὸς τὸ κράτος τῆς βασιλείας ἀντέστητε ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενοι, ἥκιστα μέντοι ταῖς παρὰ Θεοῦ δοθείσαις ἀντεπαιρόμενοι ἐξουσίαις, ἀλλὰ τὴν τοῦ Θεοῦ ἀγάπην πάντων τῶν ἄλλων ὑπερτιμῶντες, καὶ τὸ τῆς ἀληθοῦς πίστεως εἰλικρινὲς ἐνδεικνύμενοι, διαπρεπέστερον ἀνεχόμενοι τῶν ὅλων ὅλως οὐδενὶ, ὑμᾶς ξενοτρόπως αἱ καθ' ἡμᾶς ἡμέραι αἱ κατὰ τοῦτο μόνον οὐ πονηραὶ, κατεθεάσαντο οὐ παροικοὶ μάρτυρας, ἀλλὰ πανδημεί· ἐν ὑμῖν παραδόξως τὸ φῶς γινόμενον σκότος, φῶς τὸ σκότος ἀπήλεγξεν· οἱ γὰρ ταχθέντες ἡγεμονεύειν ἡμῶν ποιμένες λύκοι γενόμενοι, καὶ ἀποστατήσαντες τῆς κοινῆς ἀγέλης τοῦ Χριστοῦ, οὐ μόνον σπαράξαι ὑμᾶς, ἢ θῦσαι, ἢ ἀπολέσαι οὐκ ἴσχυσαν, ἀλλὰ καὶ εἰς μείζω ζῆλον ἀντικατέστησαν· ποιμένων γὰρ ἀνελάβετε ζῆλον ὑμεῖς, καὶ τοὺς κακοὺς ποιμένας ἀνεστρέψατε τῆς ἀληθείας ἐκπεσόντας, καὶ τὴν ὀρθοδοξίαν διὰ τὴν τῶν ἀνθρώπων δόξαν καταστῆσαι μὲν ἐπιχειρήσαντας, οὐκ ἰσχύσαντας δὲ Θεοῦ χάριτι. Ὦ πρόβατα χριστώνυμα, καὶ τῷ ὄντι Χριστοῦ, καὶ παρὰ Χριστοῦ μεμαθηκότα τῶν ἀλλοτρίων μὴ ἀκούειν τῆς φωνῆς, μηδ' ἀκολουθεῖν τοῖς ἀλλοτρίοις. ὦ ἄγγελοι ἐπίγειοι μιμούμενοι τοὺς οὐρανίους καὶ ταὐτὸ πεπονθότες τοῖς ἐπουρανίοις, μὴ συνεκπεσοῦσι τῷ ἑωσφόρῳ· θαῦμα μέγα πῶς ἐφύλαξεν ὑμᾶς ἡ θεία χάρις, καὶ τῶν ἐπισκόπων τῶν ὑμετέρων (φεῦ τῆς ἀπάτης) τὸν νῦν ἀγαπησάντων αἰῶνα, καὶ στραφέντων εἰς τὰ ὀπίσω, καὶ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀποστατησάντων, ὑμεῖς μεμενήκατε στῦλοι ἀσάλευτοι, ἑδραῖοι τῇ πατροπαραδότῳ διδασκαλίᾳ, τῇ τοῦ σωτῆρος, τῇ τῶν ἀποστόλων, τῇ τῶν πατέρων, μεθ' ὧν καὶ στεφανωθήσεσθε εὖ οἶδα, τοὺς στεφάνους ἐκείνους τῆς δικαιοσύνης (οὓς τοῖς κατὰ Παῦλον τὸν δρόμον τετελεκόσι καὶ τὴν πίστιν τετηρηκόσιν, ἐν ἐπαγγελίαις

πρὸς Τιμ. β. κεφ. δ.

λίαις ὑποκειμένως, ὁ δίκαιος ἀποδώσει κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ἀλλὰ ταῦτα μὲν ἐν τούτοις.

Ἡμεῖς δὲ τοὺς καθ' ἡμᾶς ἀναμαθόντες ἔτι ἐν Αἰγύπτῳ πειρασμοὺς, τῷ πνεύματι συνδράμομεν, ἀπεστείλαμέν τε μὴ φειδόμενοι πόνων καὶ μόχθων, ἵνα συναθλήσωμεν ὑμῖν τοὺς ὑπὲρ τῆς ὀρθοδοξίας ὀλυμπίους ὄντως ἀγῶνας καὶ στεφανωθῶμεν (Θεοῦ χάριτι) τοὺς ἀμαραντίνους στεφάνους· ἀλλὰ καὶ τὴν Θρᾴκην καταλαβόντες, καὶ τὴν τῶν πόλεων βασιλεύουσαν, τὸν αὐτὸν ἔχοντες ζῆλον, τῶν αὐτῶν ἡψάμεθα πόνων· νυνὶ δὲ πάλιν τῶν ζητημάτων τῶν καθ' ὑμᾶς κεκινημένων, καὶ πρὸς ἡμᾶς παρεπεμφθέντων, σὺν ὑμῖν τούτων τὴν λύσιν ἀθλῆσαι ἔγνωμέν τε σὺν Θεῷ καὶ οὐ δειλαίνομεν, ἢ καταλύσωμεν γενναίως, οὐ τῇ ἡμετέρᾳ σοφίᾳ τεθαῤῥηκότες, ἢ παιδείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ, οὐδένες ἡμεῖς· ἀλλὰ τῇ τοῦ πνεύματος εὐσθενείᾳ καὶ δωρεᾷ, καὶ τῇ τῶν ζητημάτων μὲν σχήματι, κατηγορειῶν δὲ ταῖς ἀληθείαις, σαθρότητι· τούτων γὰρ τὸ χαῦνον καὶ ἰδεῖν ῥᾴδιον, καὶ διαλῦσαι εὐχερές.

Κατηγοροῦσι τοίνυν κατὰ μὲν τοῦ Κωνσταντινουπόλεως πατριάρχου, ὅτι οἰκουμενικός· πόθεν γάρ φασιν ἐστὶν ἢ λέγεται; εἶτα τοῦ Ἀλεξανδρείας, πόθεν κριτὴς τῆς οἰκουμένης; κατὰ Θεοῦ γάρ φασιν ὑφαιρεῖται. εἶτα τῶν Ἱεροσολύμων προσεπιλαμβανόμενοι, πῶς οὐ προτιμᾶται τῶν τριῶν· δηλονότι Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας; τοὺς τρεῖς μηχανῶνται καταβαλεῖν, οὐ τῶν Ἱεροσολύμων ἐγεῖραι· διὰ τοῦτο καὶ τοὺς τρεῖς παραλαμβάνουσι, τὸν τοῖς Ῥώμης ἀρέσκοντες· ὃς καὶ τετίμηται, τῶν κορυφαίων ἐκεῖ τὸν δρόμον τετελεκότων· ὅτι γὰρ τοῦ θρόνου ἐκείνου τῆς πρεσβυτέρας Ῥώμης, οἱ τῆς πρεσβυτέρας παῖδες Ῥώμης λόγον ποιοῦσιν, οὐδένα ποιοῦνται λόγον τοῦ σωτηρίου τάφου, τοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης τὴν ἀρχὴν πρεσβεύοντες ἀπαρασάλευτον· καίτοι δὲ ἀκλεὴς αὐτοῖς ὁ ζωοδόχος τάφος τοῦ Χριστοῦ, ἵνα προστριβῇ δόξα καὶ τιμὴ τῷ πρεσβυτέρας Ῥώμης θρόνῳ, ὑπαρθείσης τῷ τῶν κορυφαίων τάφῳ Πέτρου καὶ Παύλου, τῶν τοῦ Σωτῆρος ὑπερφυεστάτων μαθητῶν· αὕτη γὰρ ἡ τῆς πρεσβυτέρας Ῥώμης ἀκρόπολις, ἐν ᾗ τὸ τῆς τυραννίδος ἵδρυται κράτος:

Ἀλλὰ ζητεῖτε πόθεν οἰκουμενικὸς ὁ Κωνσταντινουπόλεως, καὶ πόθεν κριτὴς τῆς οἰκουμένης ὁ Ἀλεξανδρείας, καὶ τίνος χάριν ἔσχατος ἐν βαθμοῖς θρόνων ὁ Ἱεροσολύμων; Τὴν μὲν οὖν ἰσχὺν καὶ δύναμιν, καὶ ἀξίαν τὴν ἀνὰ πᾶσαν τὴν οἰκουμένην, ἔχει λαβοῦσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία παρὰ Χριστοῦ· ἐν οἷς τι ἔλεγε πρὸς τὴν ἱερὰν χορείαν τῶν ἀποστόλων, "Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα λύσητε ἐπὶ τῆς [Ματθ. ιη.] "γῆς ἔσται λελυμένα ἐν οὐρανοῖς· ἐπὶ τῆς γῆς φησί, τὴν ὑφήλιον ἅπασαν συμπεριλαμβάνων· καὶ γὰρ καὶ αὐτὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς περὶ ἑαυτοῦ ἔλεγεν· "Ἵνα δὲ εἰδῆτε [Ματθ. θ.] "ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· οὐχ ἑνί τινι τόπῳ τὴν ἑαυτοῦ ἐξουσίαν περιγράφων, ἀλλ' ἀνὰ τὴν οἰκουμένην πᾶσαν ἐξαπλῶν· καὶ ἐν οἷς ἔλεγε, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει· [Ματθ. κη.] τὴν οὖν ἐπιστασίαν καὶ ποιμανσίαν τὴν οἰκουμενικὴν ἐν τούτοις συνίστησιν ὁ Σωτήρ· καὶ ταύτην οἷον τινὰ πάνδημον θησαυρὸν τῇ Ἐκκλησίᾳ παρατίθησιν· ἀλλὰ ταῦτα μὲν πρὶν τὸν Σωτῆρα τῶν ἐπιγείων ἀπᾶραι· Μετὰ δὲ τὴν τοῦ Σωτῆρος εἰς οὐρανοὺς ἀναπεφοίτησιν διασπαρέντες (ὡς αἱ πράξεις διατρανοῦσι) ἄλλος ἀλλαχόσε οἱ μαθηταὶ πάντας ἐζώγρησαν τῷ Χριστῷ διὰ τοῦ σωτηρίου κηρύγματος, τῆς θανατηφόρου πλάνης τὸν ζόφον, ταῖς ζωηφόροις τοῦ εὐαγγελίου διαλύσαντες αὐγαῖς· ἔνταλμα δὲ λαβόντες παρὰ τοῦ Σω-

τῆρος οὐ τὸν ἀμπελῶνα μόνον ἐργάζεσθαι, ἀλλὰ καὶ ἔργα τῶν τοῦ ἀμπελῶνος ὑπερφροντίζειν, καὶ δὴ καὶ δέεσθαι τοῦ Κυρίου τοῦ ἀμπελῶνος (οὕτω γὰρ διὰ προσταχῆς δηλονότι καθίστανται οἱ τοῦ ἀμπελῶνος ἐργάται παρὰ τοῦ Κυρίου τοῦ ἀμπελῶνος, ἀξιούμενοι τὸ ἀμπελουργεῖν) ἐκβάλλειν ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, τοῦτο δὴ καὶ πεποιήκασι, κατὰ πόλεις καὶ τόπους καθιστῶντες πρεσβυτέρους καὶ ἐπισκόπους· διαταξάμενοι τοὺς ἐπισκόπους ἑκάστου ἔθνους ἕνα γινώσκειν πρῶτον αὐτῶν, καὶ δίχα τῆς ἐκείνου γνώμης πράττειν οὐδέν· οὐ τὴν καθολικὴν ἐξουσίαν συνάγοντες· καὶ τοὔμπαλιν οὐδ᾽ αὐτὸν πράττειν δίχα τῆς τῶν πάντων γνώμης· οὐ τὴν ἐξουσίαν κοινοῦντες τοῖς ἀδελφοῖς· ὡς ἐν τριακοστῷ τετάρτῳ κανόνι τῶν ἱερῶν ἀποστόλων ἐμφέρεται· ἔχει δ᾽ οὕτω. Ἀποστολ. κανὼν λδ΄. «Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ ἑαυτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ᾽ αὐτὴν χώραις· ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτω γὰρ ὁμόνοια ἔσται· καὶ δοξασθήσεται ὁ Θεὸς διὰ τοῦ Κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα.» Ταῦτα τὰ πρεσβεῖα τοῦτον ἔχοντα τὸν τρόπον, διωρίσατο τῶν ἱερῶν ἀποστόλων ἡ ὁμήγυρις, καὶ ταῦτα διετέλεσε φυλάττουσα· οὐ γὰρ ἄλλως ἐποίουν οἱ μακάριοι, ἢ ὡς ἐδίδασκον, τὴν ἑαυτῶν μιμούμενοι κεφαλήν, τὸν ἡμῶν Κύριον καὶ Σωτῆρα, ποιοῦντα, καὶ διδάσκοντα· τὰ τοίνυν πρακτικὰ τῆς ἱερᾶς ἐκείνης συνόδου τῶν μαθητῶν ταῦτα παρίστησιν· Ὁρῶμεν οὖν πάντας μετὰ τοῦ φωτὸς μετεσχηκότας, καὶ τῶν πυρίνων ἐκείνων γλωσσῶν, καὶ λαλοῦντας τὰ μεγαλεῖα τοῦ Θεοῦ· ἐπὶ δὲ τῷ παραδόξῳ ξενιζομένων τῶν ἐθνῶν, Πέτρος μὲν ἀνίστησι, καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου θαυματουργίας ὑπεραπολογούμενος, τὰς σωτηρίους ἀρχὰς τοῦ εὐαγγελικοῦ προκαταβάλλεται κηρύγματος· ὥσπερ δὴ καὶ παραυτὰ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ἐπὶ τῇ τοῦ Ματθία χειροτονίᾳ πεποίηκε, πρῶτος τὴν ὑπόθεσιν προβαλών, ἀλλ᾽ οὐ μόνος ἐκτελῶν τὴν ἐνέργειαν. Πράξ. α. «Ἔστησαν γάρ φησι δύο, τὸν Ἰωσήφ, καὶ τὸν Ματθίαν, καὶ προσευξάμενοι εἶπον· καὶ ἔδωκαν κλήρους·» ἐν ταὐτῷ καὶ τάξιν τινὰ διασωζομένης ἐνδεικνύων ὁ ἱερὸς λόγος τῆς θείας γραφῆς, καὶ τὴν τυραννικὴν κατὰ τῶν ὁμοταγῶν αὐτονομίαν ἀφαιρούμενος· καὶ ἴδε μοι τοῦτο λαμπρότερον ἐξ ὧν ἔπραξαν οἱ θεοφόροι ἐκεῖνοι ἀπόστολοι· χρείας γὰρ ἀναφυείσης Πράξ. η. «Ἀκούσαντες οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον (πέμπεται Πέτρος καὶ οὐ μόνος) τὸν Πέτρον καὶ Ἰωάννην ὑπηρετήσοντας τῇ βουλῇ αὐτῶν·» Πράξ. ιε. «Καὶ στάσεως γενομένης καὶ ζητήσεως (οὕτω γὰρ αἱ πράξεις δεδηλώκασιν ἐν πέντε καὶ δεκάτῳ κεφαλαίῳ) τῷ Παύλῳ καὶ Βαρνάβᾳ, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ τινας ἄλλους ἐξ αὐτῶν (οὐ πρὸς Πέτρον μόνον,) ἀλλὰ πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλήμ· ὧν παραγινομένων, Συνήχθησαν (φησὶν) οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου· πολλῆς τε συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς, ἄνδρες ἀδελφοὶ καὶ καθεξῆς· οἷς ἐπιφέρει. Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη Ἰάκωβος τά, καὶ τά· οἷς ἐπιλέγει. Διὸ ἐγὼ κρίνω· καὶ τὰ λοιπά·» ἔχει δ᾽ ἔμφασιν ὁ λόγος, τό, ἐγὼ κρίνω, ἐν μέσῳ ῥηθεὶς τῶν ἀποστόλων, καὶ τῶν λοιπῶν μαθητῶν, καὶ αὐτοῦ τοῦ μακαρίου Πέτρου τοῦ καὶ προβαλόντος τὰ τῆς ὑποθέσεως, ὥστε περιγράφειν τὴν ἐξουσίαν πᾶσαν, καὶ αὐτῆς τῆς τῶν ἀποστόλων χορείας· γράφουσι δὲ μετὰ ταῦτα οἱ ἀπόστολοι τὴν ὁμόνοιαν ὑπεμφαίνοντες τὴν ἄτυφον· Πράξ. ιε. «Ὅτι ἔδοξε τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν τό, καὶ τό·» ταύτην τὴν ἐξουσίαν ἔδωκεν αὐτὸς ὁ Σωτὴρ τῇ Ἐκκλησίᾳ, ὑποθείς· Ματθ. ιη. «Ὅπου ἂν ὦσι δύο ἢ

τρεῖς

τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ, αὐτὸν παρεῖναι ἐν μέσῳ αὐτῶν· ἔστιν οὖν ἡ μὲν ἐξουσία καὶ δύναμις τῆς ἱεραρχικῆς ἐνεργείας καὶ χάριτος, οἷά τις κόκκος συνάπτων παρὰ τοῦ Σωτῆρος αὐτοῦ τῇ Ἐκκλησίᾳ καταβεβλημένη· ἕπεται δὲ ταύτῃ τῇ δυνάμει τὸ διατακτόν· συνεισάγει γὰρ τὸ ποιμαίνειν, καὶ τὸ ποιμαίνεσθαι· τῇ γὰρ ἀρχῇ τὸ ἀρχόμενον ἀκολουθεῖ· συνδέεταί τε τὰ μέλη τῇ κεφαλῇ· διὸ κατὰ τόπους πρεσβυτέρους καταστήσαντες, καὶ αὐτοῖς ἐπισκόπους ἐπιστήσαντες, τὴν Ἐκκλησίαν εὐτάκτως διοικεῖσθαι προσέταξαν· ἦν δ' ἄρ' εἰκὸς πρὸς τὴν τῶν τόπων διαίρεσιν, καὶ τὰς ἐπιστασίας τῶν ἀδελφῶν διατάττεσθαι· οἱ δὲ τῆς ὑφηλίου πάσης τόποι διακεκριμένοι ὄντες, εἰς Ἀσίαν, Εὐρώπην, Ἀφρικήν, ἐκληρώσαντο τὰς ἀξιολόγους ὑπεροχάς· ἐν γὰρ Ἀντιοχείᾳ οὔσῃ πόλει τῆς Ἀσίας, ἔνθα πρῶτον οἱ Χριστὸν Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου πιστεύοντες, Χριστιανοὶ ὀνομάζεσθαι ἐχρημάτισαν, συγκροτηθείσης ἐκεῖ συνόδου ἐπὶ παρουσίᾳ τοῦ μακαρίου Πέτρου, πατριαρχικὸς θρόνος ἐπάγη: μετὰ δὲ ταῦτα τὴν τότε τῆς οἰκουμένης κρατοῦσαν πόλιν καταλαβὸν τῆς εὐαγγελικῆς ἀληθείας τὸ φῶς, Πέτρου τοῦ ἀποστόλου σημείοις ἐκεῖ κυρώσαντος τὸν λόγον, θρόνος ἄλλος ἠγέρθη Χριστῷ, Εὐρώπης ἁπάσης ὑπερκείμενος· κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ Αἴγυπτος πλάνην ἀποσεισαμένη τὴν πολύθεον, καὶ τὰς αὐγὰς δεξαμένη τῆς θεογνωσίας, Μάρκον τὸν εὐαγγελιστὴν καὶ ἀπόστολον πλουτήσασα τῆς ἑαυτῆς ἐπιστροφῆς προστάτην καὶ συνεργὸν τῇ θείᾳ χάριτι, θρόνου ἀξιοῦται κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν πατριαρχικοῦ, Λιβύης, Αἰθιοπίας, καὶ πάσης προκαθημένου τῆς Αἰγύπτου: μετὰ δὲ τοὺς χρόνους ἐκείνους, Κωνσταντῖνος ὁ μέγας ὁ Ῥωμαίων καὶ πάσης οἰκουμένης αὐτοκράτωρ, τῷ Σωτῆρι μαθητευθεὶς, τόν τε τῆς ἑαυτοῦ σωτηρίας ἀρχηγὸν τὸν Ῥώμης ἐπίσκοπον βασιλείοις καταστολίσας λαμπρότητι, καὶ αὐτὸ περιελὼν τῆς ἀρχῆς τὸ διάδημα, τῆς Ῥώμης ἀπαίρει, παραχωρῶν τῷ πατρὶ τῆς ἀρχῆς· ἀλλαχοῦ δὲ τραπεὶς οἰκοδομήσων πόλιν τῆς οἰκουμένης βασιλεύσουσαν θεόθεν ὁδηγούμενος, εἰς Βυζάντιον καταντᾷ, καὶ πόλιν ἀνίστησι τῆς Ῥωμαίων ἀρχῆς, τουτέστι τῆς οἰκουμένης πάσης κατάλληλον ἀνακτόρειον· κοσμεῖται δὲ ταῖς βασιλείαις ἁρμοζούσαις δόξαις καὶ ἐκκλησιαστικῇ μεγαλοπρεπείᾳ, συνοδικῇ τῶν πατέρων ὁροθεσίᾳ· φασὶ γὰρ οἱ ἐν Κωνσταντινουπόλει ἐν τρίτῳ κανόνι· Τὸν μέν τοι Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην· (Συνοδ. β.) καὶ τούτοις συνῳδὰ οἱ ἐν Χαλκηδόνι ἐν εἰκοστῷ ὀγδόῳ ταῦτα φασί· (Συνοδ. δ.) Πανταχοῦ τοῖς τῶν ἁγίων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ, γνωρίζοντες τὰ αὐτὰ καὶ ἡμεῖς, ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· καὶ ὥστε τοὺς τῆς Ποντικῆς καὶ τῆς Ἀσιανῆς καὶ τῆς Θρακικῆς διοικήσεως μητροπολίτας μόνους· ἔτι καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταν-

τινούπολιν

« τὴν πόλιν ἁγιωτάτης Ἐκκλησίας, δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ καθὼς εἴρηται τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων, παρὰ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων καὶ ἐφ' αὐτὸν ἀναφερομένων. » Αὕτη ἡ τάξις τοῖς πατράσιν ἔδοξεν ἁρμόδιος καὶ πρέπουσα τῇ Χριστοῦ Ἐκκλησίᾳ. Τοῦτον τὸν τρόπον τὰ πρεσβεῖα διωρίσαντο, τιμῆς δηλονότι πρεσβεῖα, οὐ μέντοι αὐθεντίας τυραννικῆς νόμους φέρειν ἢ ἀκυροῦν· οὐ παρὰ τὸ εὐαγγέλιον, ἀλλ' ἤδη καὶ κατὰ τοῦ εὐαγγελίου τοῦ σωτῆρος Χριστοῦ· οἷα κατὰ μικρὸν σφετεριζόμενος ὁ Ῥώμης τῆς πρεσβυτέρας νῦν εἰς ὕψος ἦρεν· ὅπουγε οὐδὲ τὰς ἐμπεσούσας τῶν προέδρων τῆς Ἐκκλησίας ἀμφισβητήσεις διακρίνειν αὐτῷ συγκεχώρηται· τὰς μὲν γὰρ διαποντίους οἱ ἐν Ἀφρικῇ συνελθόντες ἐκώλυσαν ἐς Ῥώμην διαπερᾶν· τὰς δὲ ἐγχωρίους ἑκάστης Ἐκκλησίας, οἱ ἐν Χαλκηδόνι τῷ Κωνσταντινουπόλεως ἀνέθηκαν, ἐν δεκάτῳ ἑβδόμῳ κανόνι ταῦτα φάσκοντες· Συνόδ. δ. « Ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου ἐπισκόπου, ἢ μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω καθὰ προείρηται. » Τοῦτο δέ ἐστι τὸ ἀνωτάτω ἀξίωμα, περὶ οὗ μεταξὺ τῶν δύο θρόνων τῆς παλαιᾶς τε καὶ νέας Ῥώμης, ἡ ἄσπονδος ἀνέφυ φιλονεικία, ἡ κυκῶσα τὸ πᾶν· τοσοῦτον γὰρ ἡ πρεσβυτέρα Ῥώμη τὸ μῆλον τοῦτο τῆς ἔριδος νοσφίσασθαι ἐφιλοτιμήθη, ὥστε οὐ τιμῆς μόνον ὑπεροχὴν καὶ προκαθεδρίαν, ἢ διακρίσεως, ἀλλὰ καὶ νομοθεσίας καὶ νόμων ἀθέτησιν, ἑαυτῇ καθαρπάξασα τὴν Ἐκκλησίαν πᾶσαν ἠνδραποδίσατο, καὶ τὸ τοῦ εὐαγγελίου ὕψος τῇ ἑαυτῆς καθυπέβαλεν ἀρχῇ. Ἔοικα δὲ τοὺς πατέρας τῆς φιλονεικίας ταύτης ἀπαλλάξαι τὰς δύο ταύτας φιλοτιμουμένας Ἐκκλησίας, τῷ τῆς Ἀλεξανδρείας θρόνῳ προφάσεως εἰλημμένοι εὐλόγου τὸ κριτάτον τῆς οἰκουμένης προσάψασθαι· οὐκ ἄθεόν τι ἢ ἀντίθεον δόγμα, (ὥς φατε) ἀλλ' εἰρηνικόν τε καὶ φιλόθεον· οὐ γὰρ κρείττω τινὰ παρὰ τὸν Θεὸν ἄλλον καθιδρύουσιν, ἀλλὰ ὑπὸ Θεόν, καὶ ὑπὸ Θεοῦ, καὶ ὑπὲρ Θεοῦ ἀγωνιζόμενον καὶ ὑπερασπίζοντα τοῦ δικαίου· οὐδὲ γὰρ οὐδὲ ἅγιοι ἢ θεοὶ κεκλήμεθα, ὡς θεοὶ ἄλλοι πέρα Θεοῦ, ἢ παρὰ Θεὸν τὸν φιλάνθρωπον, ἢ ὅλως ἀλλαχόθεν ἄλλοθεν τὴν ἁγιωσύνην κεκτημένοι, ἢ παρὰ Θεοῦ, καὶ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀλλ' οὐδὲ θεοί τινες καὶ λεγόμενοι παρὰ τῇ θείᾳ γραφῇ πρὸς αὐτοῦ τοῦ Θεοῦ, ἤδη καὶ ἀντίθεοι ἢ ὑπέρθεοι· οὐδὲ φῶς τοῦ κόσμου· οὐδὲ υἱοὶ Θεοῦ, ἄλλό τι ἐσμὲν ἢ λεγόμεθα παρὰ τὸ φῶς τὸ ἀληθινὸν καὶ παρὰ τὸν τοῦ Θεοῦ υἱόν· ἐκείνου πρὸς ἐκεῖνον διαφέροντες, ὅτι ἐκεῖθεν τε ἔχομεν ὅσαπερ ἔχομεν, καὶ χάριτι ἐκείνου ἐσμὲν ὅπερ φύσει τυγχάνει ὢν ἐκεῖνος· οὕτω ὑπερχύρεται οὐχ ὑπεραίρεται τοῦ Θεοῦ, ἢ κατὰ Θεοῦ, λεγόμενος ὁ Ἀλεξανδρείας κριτὴς τῆς οἰκουμένης· Χριστοὶ γάρ που τινὲς λέγονται ἐν τῇ θείᾳ γραφῇ, καὶ οὐκ εὐθέως κατὰ Χριστοῦ ὑπεραίρονται. Ὁ δὲ τῶν Ἱεροσολύμων θρόνος, πατριαρχικῷ τετίμηται μὲν ἀξιώματι, μὴ καὶ ἐλαττωθῇ τιμῆς καὶ δόξης ἡ Σιών, ἡ μήτηρ τῶν Ἐκκλησιῶν, ὅθεν ὁ λόγος τοῦ Θεοῦ, ἡ καινὴ διαθήκη, τὸ τῆς χάριτος εὐαγγέλιον, μὴ ἐλαττωθῇ φημί, μὴ ἐλαττωθῇ δόξῃ καὶ τιμῇ τῶν ἄλλων Ἐκκλησιῶν· Ἔσχατον δὲ κεκλήρωκε τόπον, πανσόφως τῶν πατέρων οἰκονομησάντων ταῦτα, μὴ καὶ φανῇ (προτιμῶντες τοῦ θρόνου τῶν Ἱεροσολύμων) ἐπίγειος εἶναι ἡ ἀρχὴ καὶ ἡ βασιλεία τοῦ Χριστοῦ. μετέχει τοίνυν τῆς πατριαρχικῆς δόξης ἴσα τῶν ἄλλων θρόνων ὁ τῶν Ἱεροσολύμων, οὐ διὰ τὸ βασιλεύειν τὴν πόλιν ταύτην, ἢ προκαθημένην εἶναι τῆς Ἀσίας, καίπερ τῆς Πα-

λαιστίνης

λαυρίνης ἐστὶν μητρόπολιν, ἀλλὰ διὰ τὸ ἐκεῖσε πεπολιτεῦσθαι τὸν Σωτῆρα Χριστόν, καὶ τὸν ζωοδόχον τάφον ἐκεῖσε διαμένειν, φυλάττοντα τῆς ἡμετέρας σωτηρίας τὰς σφραγίδας, καὶ τὰ τεκμήρια. Ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς ἐν σχήματι ἀπορούντων καὶ ζητούντων τὴν τῆς Ἐκκλησίας ἀναμοχλευόντων εἰρήνην τε καὶ κατάστασιν, ἵνα μὴ παρ' ἑαυτοῖς ὦσι φρόνιμοι, καὶ οἱ φάσκοντες εἶναι σοφοί, δικαιοῦντές τε ἑαυτούς, καὶ τῶν ἑτέρων ὡς ἀδίκων κατηγοροῦντες, ἐπιγνώσωσιν ἑαυτοὺς ἐσφαλμένους περὶ τὴν ἀλήθειαν, καὶ τὰ μέγιστα ἀδικοῦντες· καὶ ἑαυτοῖς οἷς θησαυρίζουσι κατάκρισιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν αὐτὴν παραλυποῦντες καὶ σκανδαλίζοντες. Ταῦτα γὰρ τυχὸν συνοίσει τοῖς ἐθέλουσι συναίσθησίν τε τῶν πεπλημμελημένων λαβεῖν καὶ διόρθωσιν· εἰ δὲ μήγε, ἀλλὰ γοῦν ἀσφάλειαν τοῖς ὀρθοποροῦσιν ἡμῖν, καὶ παράκλησιν· μόνοι γὰρ (κατὰ τὸ θεῖον λόγιον) οἱ τὰ φαῦλα πράσσοντες μισοῦσι τὸ φῶς, τὴν θείαν δηλαδὴ διδασκαλίαν τῆς ἀληθείας καὶ δικαιοσύνης συνήγορον· ἣν μισοῦσιν οἱ τὰ φαῦλα πράττοντες· οἱ γὰρ ἔλεγχοι τοῖς παραβαίνουσι μώλωπες. Ταῦτα μὲν οὖν ἀρκέτω πρὸς τοὺς ἀντιπρεσχημένους καὶ πάντα κινοῦντας λίθον, ἵνα τὴν τῆς Ἐκκλησίας εἰρήνην διαφθείρωσιν· οἱ δ' ἔτι Θεοῦ παῖδες, οἱ τῷ θείῳ πνεύματι ἀγόμενοι, οἱ μὴ φρονοῦντες τὰ τῆς σαρκός, οἱ ἐν σαρκὶ οὐ κατὰ σάρκα, οἱ προθύμως ἔχουσι γίνεσθαι τοῖς τὰ πάντα, ἵνα τοὺς πάντας (κατὰ Παῦλον) κερδήσωσιν· οἱ καὶ ἄλλως περὶ τούτου διανοοῦνται· καὶ ἔστι τούτοις ἔστι τις τούτων τῶν ἀπορειῶν ἢ ἐπιχειρῶν ἀνατροπὴ καὶ διάλυσις· ὡς ἐμοὶ μέντοι φαίνεται, ῥᾳδία τε καὶ χρησιμωτάτη καὶ θεοφιλεστέρα. Εἰ γὰρ τοῦτο ἐστὶ τὸ τὴν Ἐκκλησίαν ταράττον, ἐμβάλλον εἰς ἀπορίας, καὶ σκανδαλίζον (εἰπεῖν εὐαγγελικῶς) τὸ τινὰς εἶναι ἢ λέγεσθαι κριτὰς τῆς οἰκουμένης, οἰκουμενικοὺς πατριάρχας (ταῦτα γὰρ ἄμφω ἡ τοῦ Θεοῦ φιλάνθρωπος προνοία ταῖς ἡμετέραις ἐνεπίστευσε χερσίν) ἢ κεφαλὴν τῆς Ἐκκλησίας καὶ μόνον βικάριον καὶ ἐπίσκοπον μόνον ἐμπιστευθέντα τὰς κλεῖς καὶ δεσμεῖν, νόμους φέρειν, καὶ ἀθετεῖν καὶ αὐτὸ τὸ εὐαγγέλιον εἰ ἂν βουληθείη μετάγειν· μόνον ὄντα διδάσκαλον, καὶ μόνον ποιμένα· πρὸς ὃν οὐδὲ κατακρημνίζοντα σωρηδὸν εἰς ᾅδου τὰς τῶν ἀνθρώπων ψυχὰς ἀντοφθαλμῆσαι οὐδενὶ τῶν ὅλων τοσύνολον ἔξεστιν· εἰ ταῦτα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ σκανδαλίζει, ἀποθώμεθα τὰ τὴν Ἐκκλησίαν σκανδαλίζοντα, ἵνα μὴ τὴν Ἐκκλησίαν ὑπὲρ ἧς ἀπέθανεν ὁ Χριστός, σκανδαλίζωμεν· εἴημεν δοῦλοι, εἰς εἰρήνην τῆς Ἐκκλησίας καὶ ὁμόνοιαν, καὶ Χριστῷ συμβασιλεύσωμεν· εἴημεν ἐπίσκοποι εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας· εἴημεν πατριάρχαι, ἵνα τὴν Ἐκκλησίαν, ἢ φαιδρύνωμεν δόξῃ καὶ τιμῇ, ἢ φιλοτιμήσωμεν τὴν ἑαυτῶν φιλοδοξίαν. Ἰδοὺ σοὶ λύσις ἁπλῆ καὶ ἀπερίεργος πᾶσαν περιελοῦσα στάσιν καὶ φιλονεικίαν ἀπελαύνουσα Ἐκκλησίας Χριστοῦ, καὶ συμβιβάζουσα εἰς σύμπνοιαν ἀδελφικήν. Εἰ δὲ ἡ ἐκκλησιαστικὴ εὐταξία ἱεραρχίαν τινὰ ζητεῖ συντεταγμένην, σώματι τινὶ εὐτάκτῳ ἀναλογοῦσαν, καὶ μέλη καὶ κεφαλὴν κεκτημένῳ, ἐσμὲν σῶμα καὶ μέλη ἐκ μέρους, ἔστω καθολικὴ κεφαλὴ ὁ Χριστός, ὃν ἔδωκε (Παύλου φωνὴ) ὑπὲρ πάντα κεφαλὴν τῇ Ἐκκλησίᾳ ὁ Ἐφεσ. α. πατήρ· ἀλλήλων δὲ (ὥς φησι Παῦλος) ἀλλήλων μέλη· ἐχέτω ἡ τοῦ Χριστοῦ Ἐκκλησία κατὰ τὸν ἀποστολικὸν τύπον τοὺς πρεσβεύοντας ἑκάστου ἔθνους, καὶ τούτους ὡς κεφαλὴν ἡγείσθω· ἡ δὲ καθόλου Ἐκκλησία, μόνον Χριστὸν ἡγείσθω κεφαλὴν τῷ καθόλου σώματι ἀναλογοῦντα· ἢ συνίστησιν ὡς κεφαλὴν μέλεσι. Ὅπου γάρ φησιν εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ Ματθ. ιη. ἐμῷ ὀνόματι, ἐκεῖ ἔσομαι ἐν μέσῳ αὐτῶν· ἀλλὰ πάλαι μὲν οὕτω· ἐν δὲ τῇ καινῇ πολιτείᾳ, Εἰπὲ φησὶ τῇ Ἐκκλησίᾳ· εἰ δὲ κανόνες τῶν θεοφόρων πατέρων δικάζεσθαι φασὶ Ματθ. ιη.

παρὰ τῇ Συνόδῳ τῆς ἐπαρχίας, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ· θρόνῳ φασίν, οὐ γὰρ ἑνὶ προσώπῳ τὸ ἀσφαλὲς περιορίζουσιν οἱ πατέρες, ὡς νῦν φαντάζεται ὁ Ῥώμης τὴν σύμπασαν Ἐκκλησίαν σφαλῆναι τῆς ἀληθείας, οἰόμενος εἶναι ἐνδεχόμενον· μονώτατον δὲ αὐτὸν τῶν ἁπάντων εἶναι παρακρουσθῆναι ποτε· ὁρῶμεν δὲ καὶ τοὺς ἱεροὺς ἀποστόλους, οὐκ ἄλλως πολιτευσαμένους, ἀλλὰ κοινῇ σκέψει διαλύοντας τὰς ζητήσεις· τοῦτον τὸν τρόπον τὸν πατρικὸν ὡς ἐδιδάχθημεν, καὶ πάλαι διὰ τύπων, καὶ διὰ τῆς ἀληθείας, ἱεροπρεπῶς διατηροῦμεν τὴν Ἐκκλησίαν αὐτοκρατευόμενοι ταῖς τῶν ἀμφισβητήσεων ἀπορίαις, καὶ τὰς τῆς Ἐκκλησίας τεκμηρίας καταπερχύνονται· καὶ ταῦτα μὲν περὶ τοῦ Πρώτου.

Ἀπορία β. Τὸν δὲ τύπον τῆς ἐπισκοπῆς (ὅπερ ἐν δευτέρῳ ζητεῖται) τεθαύμακα ὅπως εἶναι παρ' ὑμῖν ἐν ἀρχῇ τὰ πράγματα, ὥστε περὶ τούτου ἀμφιγνοεῖν· ὁ γὰρ ἐπίσκοπος τύπον ἐπέχων καὶ τύπον Χριστοῦ, διακρινεῖ μὲν αὐτὸς τὰ πάντα· ἐν δὲ ταῖς δημοσίαις ἀγωγαῖς συμπαρόντας ἔχων καὶ τοὺς τοῦ κλήρου τοῦ ἱεροῦ· διακρινεῖ δὲ κατὰ τοὺς ἱεροὺς θεσμούς, καὶ τοῦτο μόνον ἀγωνιζόμενος, πρὸς τὸν κανόνα τῶν θείων νόμων διευθύνειν τὰς ὑποθέσεις· οἱ δὲ τοῦ κλήρου πρὸς ἀλλήλους ἔχουσι τινὰ διάκρισιν εὐταξίας· πεντάδες γὰρ διετάχθησαν. ταῖς πεντάσιν ἴσως παραβαλλόμεναι τῶν τοῦ σώματος αἰσθήσεων, δι' ὧν καὶ ζῶμεν καὶ κινούμεθα καὶ τὰ τοῦ νοὸς εἰς ἔργον ἐξάγομεν· ἑκάστη δὲ τῶν πεντάδων τοὺς ἰδίους κέκτηται.

α. Ἔχει δὲ ἡ πρώτη πεντάς, τὸν μέγαν οἰκονόμον· τὸν μέγαν σακελλάριον· τὸν μέγαν σκευοφύλακα· τὸν μέγαν χαρτοφύλακα· τὸν σακελλίον· τὸν πρωτέκδικον.

β. Ἡ δευτέρα, τὸν νομοφύλακα· τὸν πρωτονοτάριον· τὸν μέγαν πρωτοπαπᾶν· τὸν λογοθέτην· τὸν καστρήσιον· τὸν πρωτοπαπᾶν· τὸν ῥεφερενδάριον· καὶ ὑπομνηματογράφον.

γ. Ἡ δὲ τρίτη, τὸν ἱερομνήμονα· τὸν ὑπομιμνήσκοντα· τὸν διδάσκαλον τοῦ εὐαγγελίου· τὸν διδάσκαλον τοῦ ἀποστόλου· τὸν διδάσκαλον τοῦ ψαλτῆρος.

δ. Ἡ δὲ τετάρτη τὸν ἐπὶ τῶν γονάτων· τὸν ἐπὶ τῶν κρίσεων· τὸν ἐπὶ τῶν δεήσεων· τὸν ἐπὶ τῆς ἱερᾶς καταστάσεως· τὸν ἐπὶ τῶν σκευῶν· ἔχει καὶ ἕτερα, ἄρχοντα τῶν μοναστηρίων· ἄρχοντα τῶν ἐκκλησιῶν· ἄρχοντα τοῦ εὐαγγελίου· ἄρχοντα τῶν ἀντιμινσίων. καὶ τὰ λοιπά.

Ἀπορία γ. Τρίτην ἀπορίαν περὶ τῆς ἀδελφότητος, πόθεν ἡ ἀδελφοσύνη, καὶ τίς διέταξε ταύτην τὴν ἀδελφοσύνην; Αὕτη οὖν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ τοῦ κυρίου ὄνομα, κοινὸν ἐστὶ χρῆμα· εἰ γὰρ ἑνὸς πατρὸς γινόμεθα παῖδες, τῇ τοῦ λουτροῦ τῆς παλιγγενεσίας καὶ ἀνακαινώσεως δυνάμει, ἀλλήλων πάντως ἐσμὲν ἀδελφοί· οἶδε καὶ γέννησις, καὶ ἀναγέννησις ἀδελφοὺς ποιεῖν, καὶ διάθεσις ἀγάπης· ὥσπερ οὖν ἡ τῆς ἀναγεννήσεως χάρις οὐκ ἀναιρεῖ, ἀλλ' ἀναπληροῖ τὴν τῆς φύσεως γέννησιν, καὶ εἰς τελειότητα προάγει· οὕτως ἐν τοῖς ἀναγεννωμένοις ἐπιρρεομένη τῆς ἀγάπης ἡ ἀκτίς, τὸ τέλειον ἐργάζεται τοῦ χρήματος. δεῖ γὰρ τῇ ἄνωθεν φερομένῃ δωρεᾷ καὶ χάριτι, καὶ τὰ ἡμέτερα συνεισφέρειν· ἐπὶ γὰρ τούτῳ δίδωσιν ὁ φιλάνθρωπος Θεὸς τὴν χάριν ἵνα ἐνεργούς, ἥκιστα δ' ἀργοὺς ἀπεργάσηται· Ἵνα οὖν οἱ τὴν χάριν δεξάμενοι καὶ δωρεὰν τοῦ φιλοδώρου Θεοῦ τὰ τῆς ἀγάπης ἐνεργῶμεν, συναγόμεθά που τινὲς ἐπὶ ῥηταῖς τισι συνθήκαις οὐκ ἀπᾳδούσαις τῶν θείων ἐντολῶν, ἀλλὰ τοῖς θείοις συνακολουθούσαις προστάγμασι· καὶ τοῦτο ἐστὶ τὸ τῆς ἀδελφότητος σύστημα· αὕτη ἐστὶν ἡ ἀδελφότης, συλλογή τις φιλοθέων ἀνδρῶν ἐπὶ συνθήκαις τισὶ συμφωνησάντων, ὥστε φυλάττεσθαι τὰς τοῦ κυρίου ἐντολάς, καὶ τὸ κοινὸν ὠφελεῖσθαι τῆς ἀνθρωπότητος· ὥσπερ δὴ καὶ οἱ λεγόμενοι τοῦ ἁγίου Σπυρίδωνος, περὶ ἧς καὶ ζητεῖτε, οὐχ ὅτι τὸν ἅγιον Σπυρίδωνα;

Σπυρίδωνα, ἤ τινα τῶν ἁγίων ὃν ἐπιγράφονται) κέκτηνται σωτῆρα ἢ πατέρα οὕτως ἁπλῶς, ἀλλ' ὅτι πρὸς τὴν ἐκείνου μίμησιν ἀφορῶντες σὺν τῷ τῆς πίστεως εἰλικρινεῖ καὶ ζέοντι τὸ πρὸς τὸν πλησίον φίλτρον ἐνδείκνυσθαι, τῶν πτωχῶν ἐπιμελεῖσθαι συνεφώνησαν, καὶ τῶν ξένων καὶ ἀστέγων συνεισφέροντες ἕκαστος καθ' ἔτος, ὃ καὶ συνωμολόγησαν· ἅπερ τῆς εὐαγγελικῆς εἴρηται διδασκαλίας· Ταῦτα δὲ ἐκφέρεται σαφέστερον ἐν οἷς συνεγράψαμεν ὅτι τὴν ἀρχὴν ἡ τοῦ ἁγίου Σπυρίδωνος συνεκροτήθη ἀδελφότης, τὴν παρ' ἡμῶν παρηγμένην εἰς εὐπρεπεστάτην μόρφωσιν.

Τὸ δὲ τέταρτον τῆς ἀπορίας, μάλιστα τῆς ἀτοπίας, οὐδ' ἐρωτᾷν ἔδει, εἰ δεῖ ἄνθρωπον κοσμικὸν τὸ τοῦ διδάσκειν ἀναλαμβάνειν ἀξίωμα· κἂν ἐκ τῆς ἡλικίας ἢ πολιτείας κεκτημένον τὸ ἀξιόπιστον· σκεπτέον γὰρ οἷος ἦν Ἰωάννης ἀρξάμενος τοῦ κηρύγματος, ὡς ἦν ἐν ταῖς ἐρήμοις ἄχρι τῆς ἀναδείξεως αὐτοῦ πρὸς Ἰσραὴλ ἐκ κοιλίας μητρὸς, χάριν (οὐ δὲ κεχειροτονημένος) πλουτήσας τοῦ πνεύματος, ὡς καὶ πρόπαλαι Ἱερεμίας, ὁ δὲ Ἡσαΐας καὶ οἱ λοιποὶ ἐκεῖθεν ἄρχονται ἐκ τῶν θείων ἐμφάσεων· ὅρασις, λέγοντες, ἢ λόγος κυρίου, καὶ τὰ ἑξῆς. οἷόν τι παρέδειξεν ὁ Σωτὴρ, οὐδ' αὐτὸς τὸ κηρύττειν ἐπιχειρήσας πρὸ τελείας πολιτείας καὶ ἡλικίας, ἄκραν ἄσκησιν ἐν τῇ ἐρήμῳ καὶ ἀγῶνας ἀντλήσας, οἵους τε ὄντας ἀνθρωπίνην φύσιν ἐλέγξαι, καὶ τελειῶσαι· σκόπει δὲ ποταποὺς ἀποστέλλει τοὺς μαθητὰς εἰς τὸ κήρυγμα, λαβόντας πνεῦμα ἅγιον διὰ τοῦ φυσήματος, καὶ τέλος πυρίνων γλωσσῶν μεμοιραμένους· ἀλλὰ καὶ συνελόντα εἰπεῖν, οἱ προβάτων ἐπέχοντες τόπον, πῶς ποιμένων ἐναρμόστως ἀναπληρώσουσι τάξιν; μάλιστά γε ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις ταῖς πονηραῖς· ὅτι μόλις ἡλικίᾳ καὶ πολιτείᾳ καὶ σοφίᾳ διαπρεπόντων ἀκούομεν ἡδέως· Μὴ πολλοὶ (φησὶν ἡ θεία γραφὴ) μὴ πολλοὶ διδάσκαλοι γίνεσθε· μὴ πάντες τῷ ἑτοιμοτάτῳ χρώμεθα ὀργάνῳ, τῇ γλώττῃ δηλαδὴ, ὥς που ἡ χρύσεος ἠγανάκτησε φωνή· εἰ δὲ καὶ ἱερέων ἢ ἀρχιερέων καθάπτεται, ἐντεῦθεν ἔστιν ἰδεῖν τὸ ἐμμελὲς τοῦ πράγματος· μὴ γὰρ μέμφεσθαι τοῖς ἀμελῶς περιπατοῦσιν (ἵνα μή τι σκληρότερον εἴπω) θέμις οὐδαμῶς· πρέπειν δὲ τοῦτο τοὺς λαϊκοὺς, ἴσον ἐστὶ τῇ κεφαλῇ καίπερ ἀλγούσῃ οἱ πόδες ἀντιπαρερχόμενοι, ἢ τὴν ἀσθένειαν ἐλέγχωσιν, ἢ περὶ θεραπείας φιλοστοργῶσι· πρὸς γὰρ τῷ τῆς κεφαλῆς ἄλγει, καὶ τῷ ἀταξίας περιπλεκόμεθα ἐγκλήματι· μοῖραν ἔχοντι κακίας οὐ τὴν ἐσχάτην.

Ἕνα δὲ μητροπολίτην (ὅπερ ἐστὶ τὸ πέμπτον τῶν ἀπορουμένων) δύο μητροπόλεων ἐξουσιάζειν, καὶ ἄθεσμον καὶ ἀπάνθρωπον· εἰ γὰρ δόξης ὀρέγεται, δυσκόλως κατορθωθήσεται αὐτῷ πλείστοις ὑπηρετοῦντα καὶ εἰς πολλὰ καὶ μεγάλα, μὴ παρατρέπεσθαι τοῦ δέοντος, καὶ προσκρούειν πολλοῖς, καὶ δὴ καὶ Θεῷ· εἰ δὲ κέρδους καὶ εὐπαθείας, ἐλεεινὸν, ψυχὴ τηλικοῦτον ἀκόρεστος· εἰ δὲ κατὰ Θεὸν βούλεται πράττειν, κίνδυνος πολλοῖς· ὁ δὲ νόμος ῥητῶς ἀπείργει τῆς τοιαύτης ἐπιχειρήσεως ἅπαντας· πολλαχοῦ ἀπαγορεύων δυσὶ καθίστασθαι ἕνα τινὰ Ἐκκλησίαις, ἢ ἐπιπηδᾷν ἀφ' ἑτέρας εἰς ἑτέραν, κἂν καὶ ὑπὸ πολλῶν παρακαλούμενον· μόλις γὰρ ἐπὶ μεγάλῳ τῷ τῆς Ἐκκλησίας χρησίμῳ τότε ἧκεν προσήκει, καὶ ταῖς κοιναῖς παρακλήσεσιν· εἰ δὲ ἑτέρα ἡ μητρόπολις Κυζίκου, ἑτέρα δὲ Γαλίτζης, ὑποτοπάζω ὑμᾶς εἰδέναι σαφέστερον, τῶν προαγόντων μεμνημένους καιρῶν, καὶ πῶς πρόπαλαι διῳκοῦντο αἱ τοιαῦται ἐπαρχίαι· ταῦτα γὰρ παρ' ὑμῖν τὰ τῆς καθ' ὑμᾶς Ἐκκλησίας τακτικὰ περιέχειν ἀνάγκη πᾶσα, ἑκάστης τε ἐνορίας τοὺς ὅρους καὶ τὰ προνόμια. Ἀπορία ε.

Τὸ δὲ περὶ σταυροπηγίου (τὸ ἔσχατον δηλαδὴ τῶν ἀπορουμένων) φανερὸν ὡς ἐστὶ τῆς Ἐκκλησίας παράδοσις· ἡ δὲ παράδοσις, ἀρκεῖ τοῦτο ὅτι παράδοσις, καὶ μὴ πολυπραγμονῶμεν· Ἀπορία ς.

ὃν καὶ τοῦτο ἀποστολικὸν κατόρθωμα, τὸ αἰχμαλωτίζειν ἑαυτῶν τὰ νοήματα πρὸς καθαίρεσιν ὀχυρωμάτων λογομαχίας ἀπάτης, οὐ σαρκικοῖς ὅπλοις, ἀλλὰ ταῖς τοῦ πνεύματος ἐνεργείαις· οὐ τῇ ἡμετέρᾳ συνέσει τε καὶ σοφίᾳ, ἀλλὰ τῇ τοῦ πνεύματος κρατοῦντες τὴν τῆς ἀληθείας ἐπίγνωσιν· φυλάξωμεν τὸ πρᾶγμα θεολογικόν. Πνεύματα φησὶ προφητῶν προφήταις ὑποτάσσεται· τοῖς τῶν πατέρων παραδόσεσιν ὑποταξώμεθα τὸ καθ᾽ ἡμᾶς φρόνημα, ὅπουγε μάλιστα τὰ τῆς εὐσεβείας δόγματα, ἥκιστα παραλυπούμεθα, καὶ τὴν εἰς ἀλλήλους ἀγάπην διαφυλάττομεν· ἧς κρατούσης, τὸ τῆς ἀνθρωπίνης φιλονεικίας παρείργειν ἀφανίζεται, τὸ τὰς Ἐκκλησίας Χριστοῦ σκανδαλίζειν. Εὗρον οὖν τὸ σταυροπήγιον οἱ πατέρες, οὐκ εἰς στάσιν, ἀλλ᾽ εἰς σύστασιν τῶν Ἐκκλησιῶν· ἵνα γὰρ ἡ Ἐκκλησία ἡ μεγάλη ἐν ἐπαρχίᾳ ἢ παροικίᾳ τῇ δεῖνι ἔχῃ τι μνημόσυνον ἄσβεστον, ἢ καὶ μικράν τινα βοήθειαν (ὥσπερ ὀφειλετικῶς ὅτι πρὸς τὴν μητέρα τῆς θυγατέρας) ἐπινοήθη τὰ σταυροπήγια, οὐκ εἰς ἀναίρεσιν ἢ ὅλως ἔλλειψιν ἢ καὶ ἀτιμίας τοῦ κατὰ χώραν ἐπισκόπου, οὗ τῆς ἐπαρχίας ἐξῄρηται τὸ σταυροπήγιον ἀλλ᾽ εἰς ἀνάρρυσιν καὶ βοήθειαν τοῦ πατριαρχικοῦ θρόνου· ὅθεν καὶ ὁ ἐπίσκοπος τιμᾶται, ὅθεν [illegible] λαβὼν καὶ τὴν ἀξίαν καὶ τὴν ἐξουσίαν τῆς ἐπαρχίας· ἀλλὰ ταῦτα πάντα οἰκοδομεῖ ἡ ἀγάπη, συγχέει δὲ καὶ ἀνακυκᾷ φιλοδοξία καὶ φιλοκέρδεια. τὴν οὖν ἀγάπην ἀνακαλέσαντες ἐγκομβωσώμεθα, τὴν πάντα (κατὰ τὸν ἀπόστολον) στέγουσαν, πάντα ὑπομένουσαν, καὶ μὴ ἀσχημονοῦσαν· τὴν δὲ αἰσχροκέρδειαν καὶ κενοδοξίαν, τὰς τῶν σκανδάλων μητέρας, τῶν ἱερῶν ἀποδιοπομπήσωμεν συλλόγων, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρὶ καὶ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐν Κωνσταντινουπόλει. ζρε.

Κορινθ. α. κεφ. ιδ.

Κορινθ. α. κεφαλ. γ.

Τῷ ἱερωτάτῳ Μητροπολίτῃ, σὺν τοῖς εὐλαβεστάτοις κληρικοῖς,

εὐγενεστάτοις ἄρχουσι, καὶ ἁπαξάπασι τῷ φιλοχρίστῳ καὶ φιλοθέῳ πληρώματι τῶν ὀρθοδόξων τῆς ἐν Χίῳ τῇ εὐλογημένῃ καὶ περιφανεῖ νήσῳ ἐν Κυρίῳ περιποθήτοις, χάριν ἔλεος καὶ εἰρήνην παρὰ Κυρίου.

Μά. κ. η.

Ὕπαγε ὀπίσω μου σατανᾶ (εἶπεν ὁ Σωτὴρ τῷ Πέτρῳ ποτὲ) τῷ διὰ Πέτρου τὴν πέτραν ἐπηρεάζειν, καὶ διὰ τῆς ἐν προσχήματι φιλανθρωπίας, τὸ τῆς φιλανθρωπίας μυστήριον ἀναχαιτίσαι ἐπιχειροῦντι, μάλα γ᾽ ἐν δίκῃ ἐπιτιμῶν· τοῦ σατανᾶ τὰς ἐνέδρας καὶ πανουργίας εἰδὼς ὁ Παῦλος, καὶ ὅτι σκότος ὢν εἰς φωτὸς ἄγγελον μεταμορφοῦται, διὰ τῆς χρηστολογίας, καὶ αὐτῆς γε τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, ἀνατρέψαι τὰς διανοίας τῶν ἀκεραιοτέρων κατεπειγόμενος, προφανέστατα, Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας· σύνεσι γὰρ ὡς κύνες λύκοι ὄντες, ἐργάζονται δὲ οὐ Χριστῷ τὸν τοῦ Χριστοῦ ἀμπελῶνα, ἀλλὰ σφίσιν αὐτοῖς τὴν κληρονομίαν καταρπάζειν μελετῶντες, καὶ αὐτὸν Χριστὸν τοῦ ἀμπελῶνος ἐκβάλλουσιν, ἀπολεῖται (τὸ εἰς αὐτοὺς ἧκον) φιλονεικοῦντες· τὸν Χριστὸν γὰρ αὐτὸν διώκουσιν (ὡς αὐτὸς φησὶν ὁ Χριστὸς) οἱ τοῦ Χριστοῦ σῶμα (τὴν Ἐκκλησίαν Χριστοῦ φημὶ) διώκοντες. τοσούτῳ λυμαντικώτεροι, ὅσῳ δυσφυλακτότεροι

Φιλιπ. γ.

τῶν

τῷ τῆς ἀγάπης καὶ χρηστότητος προσωπείῳ τὸν ἰὸν ἀποκρύπτοντες· διὰ τοῦτο γὰρ καὶ ὁ Σωτὴρ προέλεγεν, ὡς Ἐλεύσονται πολλοὶ ἐν τῷ ὀνόματί μου ἐν ἐνδύμασι προβάτων, ἔσωθεν ὄντες ἅρπαγες λύκοι. Ματθ. κδ. ἀλλὰ τίς ὁ τοῦ λόγου σκοπός; εἰσί τινες οἱ δῆθεν τοῦ μακαρίου Πέτρου εἶναι βουλόμενοι μαθηταί· κατὰ τοῦτο τυχὸν καὶ μόνον πετρίζοντες, ὅτι ἠπάτηνται (εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον τῷ μακαρίῳ Πέτρῳ) τὴν γὰρ ἀγάπην τὴν διὰ παθημάτων δοκιμαζομένην ἀγνοοῦντες, καὶ τὴν κακουχουμένην κατὰ Χριστὸν καὶ διὰ Χριστὸν Χριστοῦ Ἐκκλησίαν ἀκαίρως οἰκτείροντες (ἢ κυριώτερον εἰπεῖν) οἰκτείρειν σχηματιζόμενοι, ἀνατρέψαι φιλοτιμούμενοι τὸ τῆς ἐκκλησίας γνήσιον· φάσκοντες γὰρ τοῖς οἰκείοις τοῦ Σωτῆρος, Ὅτι ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, καὶ τὸν σταυρὸν ἄραι τοὺς αὐτῷ προαιρουμένους ἀκολουθεῖν, εἰς αὐτὸν ὡς τοῦτον ἀφορῶντας καὶ ὑπογραμμόν, ὅτι τῷ Χριστῷ ἀπεναντίας φρονοῦντες, τὰς τῆς Ἐκκλησίας θλίψεις, καὶ τὸν σταυρόν, τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, μὴ εἶναι διδάσκουσι τῆς ἀληθοῦς Ἐκκλησίας τεκμήρια καὶ σημεῖα, καίτοι καὶ ἀκούοντες τῆς σωτηρίου φωνῆς· Εἰ (λεγούσης) ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Ἰωάν. ιε. Εἴπατέ μοι οἱ τοὺς ὀρθοδόξους ἡμᾶς δῆθεν οἰκτείροντες ἐπὶ ταῖς πολλαῖς τε θλίψεσι καὶ ἐπιβουλαῖς, διὰ τὰς θλίψεις μὴ εἶναι ἡμᾶς δογματίζετε γνησίους τοῦ Χριστοῦ, δι' ἃς ὁ Χριστὸς τοὺς γνησίους δοκιμάζει καὶ ἀποδέχεται; καὶ πῶς οὐκ ἀντιθέτως δογματίζετε τῷ Χριστῷ; ἀποβάλλετε τὸν κακὸν οἶκτον ὦ οὗτοι· ἡμεῖς γὰρ μετὰ τοῦ Σωτῆρος χαίρομεν θλιβόμενοι, μετὰ τῶν ἀποστόλων τυπτόμενοι, καὶ διωκόμενοι, οὐ μόνον ἀνεχόμεθα, ἀλλὰ ἐφηδόμεθα· Παῦλος δὲ καὶ ἐνεκαυχᾶτο ταῖς θλίψεσι· καὶ μετὰ τῶν πατέρων κακουχούμενοι, ἐν ἐρημίαις τε πλανώμενοι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, οὐκ ἀποδεχόμεθα τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος τύχωμεν ἐν τῇ ἀναστάσει χάριτι Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀνταναπληροῦμεν τε τὰ τοῦ Σωτῆρος παθήματα ἐν τοῖς ἡμετέροις σώμασι· μόνον ἀγχόμεθα οἱ τάλανες, ὅτι τοῖς διηνεκέσιν ἁμαρτήμασι τὸν φιλάνθρωπον παροργίζομεν πατέρα· δι' ἃ καὶ τὰς πατρικὰς καὶ φιλοστόργους μάστιγας ὑπέχομεν· Παιδεύων (γάρ φησιν ἐν Δαβὶδ ἡ Ἐκκλησία) ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με· Ψαλμ. ριζ. καὶ Παιδεύει οὓς ἀγαπᾷ (Θεοῦ φωνή) μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται· τοὺς γὰρ ἀμοίρους παιδείας, ἧς πάντες μετέσχον οἱ τῶν φιλοθέων πάντες ἀνδρῶν, οὐχ υἱοὺς ὁ Παῦλος ἐπιγινώσκει· ἀλλ' οἱ τὰς χαμαιζήλους διαφερόμενοι εὐπαθείας, καὶ πρὸς τὰ βλεπόμενα ἐπτοημένοι, δόξας ἐπιγείους, βασιλείας φθειρομένας, βραχὺ γλυκαινούσας εὐδαιμονίας, καὶ διὰ ταῦτα εἶναι βουλόμενοι δῆθεν νύμφη τοῦ Χριστοῦ, ταῖς ἡμετέραις κακουχίαις ἀνηλεῶς ἐπιπηδῶσιν· οἷς τί ἄν τις ἀντείποι, εἰ μὴ τὸ τοῦ Παύλου; ὅτι Ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· Γαλάτ. ϛ. καὶ ἀκολούθως· Συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· ἀλλ' οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· Ῥωμ. η. ἀλλὰ τῶν τοιούτων μὲν τὸ τῆς σαρκὸς φρόνημα (οὐ γὰρ φρονοῦσι τὰ τοῦ Θεοῦ) ὡς ποτὲ πρὸς Πέτρον ἀρχόμενον συμπάθειαν εἶπεν ὁ Σωτὴρ (ἀλλὰ τὰ τῶν ἀνθρώπων) ἔξωθεν πολλαχόθεν ὑποβουκολῆται τῶν ἱερῶν προβόλων τοῦ Χριστοῦ, ὡς καὶ ὁ Σωτὴρ τότε τὸν διὰ Πέτρου τὸν ἀφιλάνθρωπον οἶκτον προβαλλόμενον· οὐ γὰρ ἦν, οὐκ ἦν τῆς μακαρίας, καὶ μικρὸν ὕστερον μεμακαρισμένης ψυχῆς τὸ κοσμοπρεπέστερον πάθος ἀναχωτίσαι) τό γε νῦν ἔχον καθόλου ἐκλογισώμεθα· τὰ δὲ βέλη, τὰ κακὰ βέλη τῆς ψυχοφθόρου διδασκαλίας ἀποκρουσώμεθα τοῦ τῆς

εὐσεβοῦς πίστεως θυρεῷ, καὶ θεοδμήτῳ μαχαίρᾳ τοῦ πνεύματος, τῷ τμητικῷ λόγῳ καὶ δι-
στόμῳ· κατακεντᾷ μὲν γὰρ καὶ τὴν κίβδηλον πολιτείαν, τέμνει δὲ καὶ τὸ ἀντίθεον φρόνημα.
Ησαΐ. ια. εἰπὼν τῷ πνεύματι τοῦ στόματος τοῦ Θεοῦ, ᾧ τὸν ἀντικείμενον ἀνελεῖν ὁ Κύριος ἐν ταῖς
θείαις γραφαῖς ἐπαγγέλλεται· τῷ τοίνυν λόγῳ τῷ ἀνυποθέτῳ τῆς θείας διδαχῆς τὰς
γλωσσαλγίας τῶν ἀντεπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καταστρώσωμεν· δεῖ γὰρ τὴν
ἀλήθειαν ὑπερνικᾶν, καὶ πάντων εἶναι φιλτάτην· μάλιστά γε τοῖς καθ' ἡμᾶς φιλοσοφίας
« πρεσβευτῆς, Θεὸν εἶναι τὴν ἀλήθειαν· Ἐγὼ γάρ εἰμι (φησὶν) ἡ ἀλήθεια, συναγωνιζομένοις
τοῖς ὑπερασπιζομένοις αὐτῆς, καὶ τὴν νίκην βραβευούσαν κατὰ τοῦ ψεύδους τοῖς τῆς ἀληθείας
παγκρατιασταῖς· ἀπὸ δὲ τῶν καιριωτέρων ἀρξόμεθα.

Περὶ τοῦ πνεύματος. Τί τοίνυν φατὲ οἱ νέοι θεολόγοι; τὸ πνεῦμα φασὶ τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύε-
ται, τὴν οὐσιώδη καὶ ὑποστατικὴν καὶ ὑπαρκτικὴν ἐκπόρευσιν, ὥστε εἶναι καὶ τὸν υἱὸν αἰτίαν
τοῦ πνεύματος· ἀλλ' ἀντιφάσκετε τοῖς θεολόγοις· εἰς ἓν αἴτιον (φασὶν ἐκεῖνοι) τοῦ υἱοῦ
Βασίλ. « καὶ τοῦ πνεύματος ἀναφερομένων. Βασίλειος, καὶ Γρηγόριος, καὶ Αὐγουστῖνος· Πρεντζίπιουμ
Γρηγόρ. « ὑπηϊτάτης πάτερ ἔστ· καὶ Διονύσιος, Πηγὴ τῆς ὑπερουσίου θεότητος, ὁ πατήρ· ἀλλὰ καὶ
Αὐγουστ. « τοῖς ἀποστόλοις ἀντιφθέγγεσθαι· ἐκεῖνοι πατέρα τῶν φώτων λέγουσι τὸν πατέρα· φῶτα
Διονύσ. « γὰρ τοῦ πατρὸς, τῷ πατρὶ ὁμοούσια, ὁ υἱὸς καὶ τὸ πνεῦμα· ἐκ τοῦ πατρὸς τῶν φώτων ἀνί-
σχοντα μὲν ὁμοουσίως, οὐ τὸν αὐτὸν δὲ τρόπον προόδου ἑκάτερον· διὸ καὶ ὁ μὲν, υἱὸς· γεννᾶται
γὰρ ἐκ τοῦ πατρὸς· τὸ δὲ, πνεῦμα· ἐκπορεύεται γὰρ ἐκ τοῦ πατρὸς· ἀλλὰ καὶ αὐτῷ τῷ
Ιωάν. ιε. « Σωτῆρι ἀντιμάχεσθε· ἐκεῖνος περὶ τοῦ πνεύματος ταῦτα φησίν· Ὅταν ἔλθῃ ὁ παρά-
« κλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς (τὴν χρονικὴν πέμψιν καὶ χορηγίαν, εἰ
δὲ βούλει καὶ ἐκπόρευσιν, καὶ ἀποστολήν, καθ' ἣν καὶ αὐτὸς ὁ παράκλητος ὡς αὐτο-
κέλευστος ἔρχεται, καὶ παρὰ τοῦ υἱοῦ πέμπεται, καὶ παρὰ τοῦ πατρὸς ἀποστέλλεται, σημαίνων) τὸ
πνεῦμα τῆς ἀληθείας· οὐ γὰρ ὀθνεῖον τῆς ἀληθείας καὶ ξένον, ἀλλ' ἴδιον ὡς ὁμοούσιον τῆς
ἀληθείας· ἔστι γὰρ πνεῦμα ψεύδους, τὸ καὶ πλανῆσαν τὸν Ἀχαάβ· εἰσὶ καὶ λειτουργικὰ
πνεύματα, τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· ἔστι
καὶ πνεῦμα δρόσου διασυρίζον· διὰ τοῦτο τὸ πνεῦμα φησὶ τῆς ἀληθείας εἴρηται· ἧς
ἐλεύσεως καὶ αὐτὸ, καὶ ὁ υἱὸς, καὶ ὁ πατὴρ ἐνεργεῖ· τὸ πνεῦμα τοίνυν τῆς ἀληθείας ὁ
παρὰ τοῦ πατρὸς φησὶν ἐκπορεύεται· ἐκ τοῦ πατρὸς φησὶν ἐκπορεύεται, καθὼς ἐκ τοῦ πατρὸς
καὶ ὁ υἱὸς γεννᾶται· πῶς μὲν οὖν εἰ καὶ ὁ υἱὸς αἰτία τῆς ὑποστατικῆς καὶ ὑπαρκτικῆς ἐκπο-
ρεύσεως τοῦ ἁγίου πνεύματος, (οὐ τῆς πέμψεως, ἀποστολῆς, καὶ χορηγίας τῆς ἐν χρόνῳ,
ἀλλὰ τῆς ἀϊδίου ἐκπορεύσεως,) σῴζεται ἡμῖν τὸ κάλλιστον τῆς καθ' ἡμᾶς ἀνατολικούς τε
καὶ δυτικοὺς πάντας ὁμοίως, σῴζεται τὸ κάλλιστον τῆς θεολογίας κεφάλαιον· μοναρχίαν γὰρ,
μίαν δηλαδὴ ἀρχὴν πρεσβεύομεν ἅπαντες· πάντων μὲν τῶν (ὡς φασὶ καὶ οἱ τῆς σχολῆς)
ἐκτὸς τῆς τριάδος, αὐτὴν τὴν τριάδα· τῶν δὲ ἐντὸς τῆς ὑπερθέου τριάδος, τὸν πα-
τέρα μόνον· ἵνα ἡ μία ἀρχὴ ἡ καλλίστη τῆς θεολογίας ἀρχὴ, τὸ μέγιστον τῆς ὀρθοδοξίας
ἀξίωμα, πάντῃ τε διασῴζηται καὶ πάντως· ἀδύνατον δὲ δύο ἓν αἴτιον εἶναι τοῦ πνεύμα-
τος καὶ τὸν υἱὸν μετὰ τοῦ πατρός· καθὸ γὰρ ἕν ἐστι μετὰ τοῦ πατρὸς ὁ υἱὸς (ἔστι δὲ ἓν καθ' οὐ-
σίαν) ἕν ἐστι καὶ τὸ πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· εἷς γὰρ Θεὸς τὰ τρία, μία οὐσία,
μία φύσις, μία ἀρχὴ, εἷς δημιουργός, ἀλλὰ καὶ τὸ γεννᾶν, γεννᾶσθαι, ἐκπορεύειν, ἐκπο-
ρεύεσθαι, οὐ τῆς οὐσίας, ἀλλὰ τῶν ὑποστάσεων εἰσὶν ἰδιότητες· αἱ δὲ ἰδιότητες πάντως οὐ
κοιναί· Τούτων οὕτως ἐχόντων, τίς ἡ τόλμη εἰς κατηγορίαν τοῦ μεγίστου δόγματος τῆς

εὐσεβείας,

εὐσεβείας, ἧς ἡ τόλμη καὶ αὐτῷ τῷ Σωτῆρι Χριστῷ ἀνθισταμένης, ἄλλην διδαχὴν παρ' ἣν ἐδίδαξεν ὁ Σωτήρ, παρ' ἣν τὸ ἱερὸν εὐαγγέλιον φέρει, εἰσφέρειν εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἀποτολμᾷ; οὐδὲ τῷ Ἰσαποστόλῳ Διονυσίῳ πειθομένης ἀναμφανδὸν βοῶντι· Μηδὲν ὅλως τολμᾷν ἢ λέγειν ἢ φρονεῖν παρὰ τὰ ἐν τοῖς ἱεροῖς λογίοις ἐκπεφασμένα· Κἂν ἄγγελος φησὶν ἀπ' οὐρανοῦ ὁ θεῖος Παῦλος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἠγνόησαν, ὡς ἔοικε, τὴν καλὴν ὑμῶν θεολογίαν ὁ χορὸς τῶν θεοφόρων πατέρων, τὸ ἱερὸν σύμβολον ἀναπτύσσων ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ οἰκουμενικῇ, καὶ ἐξεπίτηδες κατὰ τῶν πνευματομάχων τὰ τοῦ πνεύματος μετὰ τοῦ πνεύματος ἐκφαίνων, καὶ λέγων, τοῖς αὐτοῖς τοῦ Σωτῆρος λέξεσι· Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· Ὢ τῆς ἀτοπίας· τὰ τοῦ πνεύματος ὄργανα, ἐν ταῖς ὑπὲρ τοῦ πνεύματος παλαίστραις, παρὰ τοῦ πνεύματος ἐμπνεόμενα, τὰ τοῦ πνεύματος ἠγνόησαν, καὶ σκότος βαθὺ τῆς Ἐκκλησίας κατεχέθη συμπάσης, καὶ ἀνατολικῆς δηλονότι, καὶ δυτικῆς· διήρκεσέ τε ἐπὶ χρόνον δι' αἰώνων πολλῶν, ἄχρις οὗ μετὰ τοσαύτας καὶ τηλικαύτας συνόδους οἰκουμενικάς τε καὶ τοπικάς, ἡ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης καινὴ καὶ πρόσφατος ἀρχή, οὐ μόνον πάσης ἀρχῆς καὶ ἐξουσίας κατεπαιρομένη, ἀλλὰ καὶ πολλῶν πάπων κατατολμήσασα (οἳ σὺν τοῖς πατράσι τοῖς ἀποστολικοῖς τὸ αὐτὸ σύμβολον τῆς πίστεως μετὰ τῆς αὐτῆς περὶ πνεύματος θεολογίας ἐπρέσβευον) καὶ τὸ σύμβολον ἔφθειρε, καὶ τῷ τοῦ πνεύματος ἐλυμήνατο δόγματι, κηρύξασα καὶ τὴν [illegible] αἰτίαν τοῦ πνεύματος, τῆς καινοτομίας, ἣν πολλαχοῦ παρεισήνεγκε.

« Διονυσ. — « Γαλάτ. α. — « Συνόδ. β.

Καὶ γὰρ τῶν ἀχράντων μυστηρίων κατέτεμε τὴν παρὰ τοῦ Σωτῆρος παράδοσιν· ἄρτον γὰρ καὶ οἶνον λαβὼν (σιωπῶ νῦν τῶν ἰουδαϊκῶν ἀζύμων τὴν νομικὴν καὶ μετὰ τὸν νόμον τοῖς ἐν χάριτι παρὰ δέον σπουδαζομένοις παραφυλακήν) καὶ εὐχαριστήσας καὶ ἁγιάσας, παρέδωκε εἰπών, Λάβετε φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὁμοίως καὶ τὸ ποτήριον λέγων, Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· Αὕτη δὲ καταλιποῦσα τὸ εὐχαριστήσας, τὸ ἁγιάσας, μόνοις προσφύεται τοῖς ῥήμασι, τοῖς, τοῦτό μου ἐστὶ τὸ σῶμα, καὶ τὰ ἑξῆς, καὶ ἡμῖν μέμφεται τοῖς τῷ Σωτῆρι ἀπαραλλάκτως ἀκολουθοῦσι, καὶ μετὰ τῶν ῥημάτων ἐκείνων καὶ τὰς εὐχὰς καὶ εὐχαριστίας ἐκπληροῦσιν.

Περὶ τῶν ἀζύμων. — « Ματθ. κς.

Εἶτα καὶ τὴν ὁλομέλειαν διασπάσασα τοῦ μυστηρίου, τὸ σῶμα μόνον τοῖς μέλεσι τοῦ Σωτῆρος μεταδίδωσι· τὸ δὲ αἷμα (περὶ οὗ μετὰ τῆς ἐμφάσεως τοῦ πάντες, πίετε γάρ φησιν ἐξ αὐτοῦ πάντες) τὸ αἷμα φημί, οὐ πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἱερεῦσιν ἀνατίθησι. τὸ ὑπὲρ ὑμῶν· ἀλλ' οὐ μόνων· καὶ γὰρ καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Οὕτως ἐχομένοις ἡμᾶς τῆς εἰλικρινοῦς τοῦ Σωτῆρος διδασκαλίας, οἱ τὸν Πέτρον αὐχοῦντες τὸν μακάριον καθηγητὴν καὶ διδάσκαλον, οἱ τῆς πρεσβυτέρας Ῥώμης παῖδες (οἱ νῦν τὰ τῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς ἀνασκευάζοντες, καὶ κωμῳδοῦντες τὰς κακουχίας, καὶ τὰ ὑπὲρ τῆς τοῦ Χριστοῦ πίστεως δεσμά τε καὶ μάστιγας, διωγμούς τε καὶ καθ' ἡμέραν θανάτους) διασύρουσιν.

Περὶ τῆς μεταδόσεως τῶν μυστηρίων.

Ἀλλ' ἴσως τῆς ἀτοπίας ταύτης τῆς καθ' ἡμῶν τινὲς ἐλπίζουσι δίκας ἐν τῷ νεοδμήτῳ πυρὶ (τῷ καθαρτηρίῳ δηλονότι) ὑπὲρ οὗ καὶ διαπληκτίζονται πρὸς ἡμᾶς μὴ παραδεχομένους πῦρ ἄγνωστον, καὶ πυργατόριον ἄδηλον, καὶ αὐτοῖς ἄγνωστον τοῖς τοῦτο πρεσβεύουσι, καὶ ἀγνώστοις χρείαις ἀναπλαττόμενον· Εἰπάτωσαν γὰρ οἱ τοῦ πυρὸς τούτου τοῦ πυργα-

Περὶ τοῦ καθαρτηρίου πυρός.

τορίου

τρεῖς εἰσηγηταὶ ποῖον τί ποτε πῦρ ἐστὶν (εἰ μὴ μάτην ζητεῖται ὁποῖόν ἐστι, τὸ εἰ ἐστὶν ἀγνοούμενον) ἀλλ' οὖν εἰ πάντως ποῖόν τι πῦρ ἐστι· θεῖον; ἀλλὰ φῶς ἐκεῖνο· εἰ δὲ καὶ πῦρ, ἀλλὰ πῦρ τὴν κακίαν καταναλίσκον· τοιοῦτον δὲ οὐ βούλονται εἶναι τὸ πυργατόριον· οὐ γὰρ εἰς τὴν τῆς κακίας καθαίρεσιν ᾠκοδόμηντο παρ' αὐτοῖς τὸ πῦρ ἐκεῖνο τὸ καθαρτικόν. λεπτὰς γάρ τινας κηλῖδας, ἢ τὰς ἐπὶ τῇ κακίᾳ, τὰς διὰ τῆς μετανοίας ἤδη προεξαλειφθείσας τιμωρίας εἰσπραττόμενον, τοὺς προκεκαθαρμένους ἀποκαθαίρει· στοιχειῶδες; ἀλλὰ σώματι τὸ στοιχεῖον συστοιχεῖ· ἀλλὰ τὸ τοῦ ᾅδου τὸ ἀφεγγές; ἀλλὰ διηνεκὲς τοῦτο καὶ ἄσβεστον, οὐ πρόσκαιρον δὲ καὶ ἐκλεῖπον· καὶ κολαστικὸν μὲν, οὐ καθαρτικὸν δέ· ποῦ δὲ κεῖται τὸ καθαρτήριον τοῦτο πῦρ; μετὰ γὰρ τὴν ἀπαλλαγὴν τὴν τῇδε, κόλπους Ἀβραὰμ ἐδήλωσεν ἡ γραφὴ, καὶ βασάνων τόπον καὶ φλογὸς· μεταξὺ δὲ χάσμα μέγα· καὶ Αὐγουστῖνος δὲ ὁ μακάριος, καὶ Βερνάρδος, τρία ἴσασι σκηνώματα· ποῦ ἐκείνων γῆς, τοῦ οὐρανοῦ, τοῦ ᾅδου τὸ καθαρτήριον· Ἀλλὰ καὶ Αὐγουστῖνος φησὶν ἐνθ' ὅπου τὸ πυργατόριον τίθησιν· ἀλλὰ πρότερον μὲν οὐχ οὕτω δογματικῶς· ἔπειτα δὲ καὶ οἱ τρία μόνα σκηνώματα κατὰ τὴν θείαν γραφὴν ἐπιγινώσκοντες, εἶτα τὸ πυργατόριον προσεκβάλλοντες, ἑαυτοῖς τι περιπίπτουσι, καὶ τῇ θείᾳ γραφῇ διαφωνοῦσι· γνώμη δὲ οὕτως ἀστατοῦσα (εἴγε ὅλως καὶ γνώμη) καὶ ἀσύστατος, δόγμα εἶναι οὐ δύναται.

Ποῦ δὲ καὶ δίκαιον, ἢ πρέπον, τῆς ψυχῆς μετὰ τοῦ σώματος πλημμελούσης, ἢ καὶ Θεοῦ χάριτι, εὐθυνομένης καὶ θεοδρομένης· διὸ καὶ μελλούσης πάσαις ἀνάγκαις, ἢ στεφανωθῆναι τὸν τῆς δικαιοσύνης στέφανον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μετὰ τοῦ οἰκείου σώματος, ἢ καὶ ἀποπεμφθῆναι μετὰ τοῦ αὐτοῦ σώματος εἰς τὸ πῦρ τὸ ἐξώτερον, εἰς τὴν φλόγα τὴν διαιωνίζουσαν· ποῦ φημὶ δίκαιον μόνον ἐν τῷ πυργατορίῳ, μόνην εἰσιέναι τὴν ψυχὴν γυμνὴν σώματος, τὰς προσκτώσεις ἐκείνας τὰς πυργατορίους, καὶ καθαρτικὰς ὑποισομένην; ἀλλὰ καὶ ποῦ τῆς θείας γραφῆς τὸ πυργατόριον τοῦτο πῦρ παραδέδοται; ὁ Σωτὴρ (φησὶ)
[Ματθ. ε.] Οὐκ ἐξελεύσεται ἕως οὗ ἀποδῷ καὶ τὸν ἔσχατον κοδράντην, ἄρα πῦρ ἐστὶ πυργατόριον καὶ καθαρτικόν· ἀλλ' ὦ οὗτοι, οὔτε περὶ καθαρτηρίου πυρὸς ὁ Σωτὴρ διαλέγεται, καὶ σκεπτέον καὶ τίς ἐκεῖνος περὶ οὗ ταῦτα εἴρηκεν ὁ Σωτὴρ, μὴ ἄλλης φυλακῆς εὑρεθῇ ἄξιος, οὐ καθαρτικῶν χωρίων, ἀλλὰ φλογῶν τιμωρητικῶν καὶ κολαστικῶν, καὶ τοῦ ἐσχάτου κοδράντου εὐθύνας
[Ψαλ. ρκβ.] ἀποτιτυσῶν· ἀλλὰ καὶ τὸ ἕως οὐ πάντοτε τέλος σημαίνει· Οἱ ὀφθαλμοὶ (γάρ φησι) ἡμῶν πρὸς τὸν Θεὸν ἕως οὗ οἰκτειρήσαι ἡμᾶς· οὐ γὰρ μετὰ ταῦτα οὐκ ἔσονται· οἷς γε διὰ τοῦτο οἰκτιρμοὶ παρὰ τοῦ φιλανθρώπου καὶ χορηγοῦνται καὶ λαμβάνονται, ἵνα πάντοτε σὺν Κυρίῳ ἐσώμεθα· οὐδὲ Ἰωσὴφ ὁ μὴ γνοὺς τὴν παρθένον, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ἔγνω μετὰ ταῦτα· ἀλλὰ τὸ μέχρι μὲν τίθησι, τὸ δὲ μετὰ ταῦτα οὐκ ἀναιρεῖ· Ὁ δὲ Παῦλος
[Κορ. α. κεφαλ. γ.] Τὸ πῦρ μέν φησι δοκιμάσει· ἀλλὰ τοῦτο τοῦ καθαρτικοῦ ἐκείνου πυργατορίου τρεῖς, δὶς διὰ πασῶν διαφέρει· τὸ μὲν γὰρ πυργατόριον ὡς αὐτοί φασι (καίπερ οὐδ' αὐτοῖς συμφωνοῦσιν οἷς λέγουσι δι' ὧν πράττουσι) οὐ πάντη γὰρ οὐδέ· *ἀναπτόμενον κηρύττοντες τὸ πυργατόριον, ὑπὲρ ἁπάντων, καὶ ἐφ' ἅπασι προσδέχονταί τε (μέχρι σήμερον) τὰς προσφορὰς ὡς προσφορὰς, καὶ οὐ παύουσι τὰς ἐντάξεις· τὸ μὲν οὖν πυργατόριον, οὐχ ἁμαρτίας, οὐ κακίας ἁπλῶς καθαίρει (φασὶν) εἰ μή που κηλῖδας τινῶν λεπτοτάτων, καὶ κουφοτάτων καὶ συγγνωστῶν, ἢ καὶ θανασίμων μὲν, διὰ δὲ τῆς μετανοίας ἀφεθεισῶν· καθαίρει δὲ καὶ τὰς ἐπὶ ταῖς φθασάσαις καὶ ἀφεθείσαις ἁμαρτίαις ἐκτίσεις, ταύτας, ξύλα, καλάμην, χόρτον, τὸ πυργατόριον ἔσται δεικτικόν· τοιοῦτον γὰρ παρ' αὐτοῖς ἀναπλάττεται, λεπτῶν δηλονότι, καὶ κούφων ἁμαρτημάτων·

ἁμαρτημάτων· οὐ γὰρ ἐκλείπουσιν ὡς Ὠριγένης τὰ τῆς τοιαύτης φιλανθρωπίας· τὸ δὲ Παύλῳ λεγόμενον πῦρ, καὶ τὰς εὐτελεῖς ὅλως εἰσδέχεται, ξύλον (φέρε εἰπεῖν) καλάμην, χόρτον· καὶ τὰς ἐντίμους τε καὶ ἀξιαγάστους· χρυσὸν, ἄργυρον, λίθους τιμίους· ὡς καὶ Αὐγουστῖνος ἐν, ξζ. κεφαλ. τοῦ ἐγχειριδίου πρὸς Λαυρέντιον λέγει· οὐκ ἄρα τὸ παρὰ Παύλῳ πῦρ, τὸ πῦρ ἐστὶ τὸ παρὰ τῇ πρεσβυτέρᾳ Ῥώμῃ πρεσβευόμενον καθαρτήριον, ἢ πουργατόριον πῦρ· Τί δαὶ καὶ μετὰ τῶν Μακκαβαίων; ἐκ γὰρ τοῦ Ἰούδα κατ᾽ ἀνδρολογίαν συλλογῆς ὑπὲρ τε τῶν κεκοιμημένων τῶν κεκλοφότων τὰ Ἰαμνείας ἱερώματα τὰ χρυσᾶ προσφορᾶς, πῦρ ἐξάγουσι καθαρτικὸν, ὅθεν οὐδαμῶς πῦρ πουργατόριον ἀναφαίνεται· ἥκειν γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν μέχρις καὶ τῶν ἀποιχομένων ἴσως ὑπεμφαίνει· ὅπερ ἡ Ἐκκλησία τοῦ Θεοῦ καὶ εὔχεται, καὶ ἐλπίζει ἐν οἱοισδήποτε τόποις, ἢ ἀδυνάτοις, ἢ κατ᾽ Αὐγουστῖνον· Καὶ διὰ τοῦτο εὐχαί τε καὶ ἐλεημοσύναι καὶ μνημόσυνα παρ᾽ ἡμῶν, ὅτι μὴ ἀδυνάτως ἔχειν τὸν πολυέλεον Θεὸν ἐκτείνειν τοὺς ἀράτους οἰκτιρμοὺς ἐπὶ τοὺς δεομένους, καὶ οὐκ ἀπᾷδον τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ δοκεῖ πρὸ τῆς ἐσχάτης ἡμέρας τῆς κρίσεως, τὰ τοῦ ἐλέους ἐνδείκνυσθαι· Ἔλεον γὰρ φησὶ καὶ κρίσιν ᾄσομαί σοι· καὶ ἀποστολική ἐστι διὰ τῶν πατέρων εἰς ἡμᾶς φθάνουσα παράδοσις, καὶ παρὰ τῆς θείας γραφῆς ἔχει λαβοῦσα τὴν σύστασιν, ἐν ᾗ τῶν ζώντων αἱ ἱκετεῖαι, καὶ τὰ δάκρυα, τοῖς κεκοιμημένοις οὐ τὴν τυχοῦσαν προσεπιτετόχασιν ὠφέλειαν· καὶ γὰρ καὶ ὁ προφήτης τῇ Σωμανίτιδι χαριζόμενος, ἤγειρεν αὐτῆς τὸν υἱὸν, καὶ ὁ Ἀπόστολος ἐν Λύδδᾳ, τὴν Ταβιθὰν, καμφθεὶς τοῖς δάκρυσι τῶν εὐπεπονθυιῶν γυναικῶν παρὰ τῆς Δορκάδος· καὶ ὁ Σωτὴρ καὶ ἐν Ναῒν τῇ χήρᾳ κλαυσάσῃ ἀναστήσας ἐχαρίσατο τὸν υἱὸν, καὶ ταῖς περὶ τὴν Μάρθαν τὸν Λάζαρον διὰ τὴν αὐτὴν αἰτίαν, ἣν ὁ Παῦλος τῇ τῆς πίστεως δυνάμει ἀναφέρει· Πίστει (φάσκων) ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς αὐτῶν νεκρούς· δεῖ ἡκειν οὖν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἐπὶ τοὺς κεκοιμημένους καὶ πρέπει πλασθῆναι τὰς φλόγας τὰς πουργατορίους, καὶ μετὰ τὴν αὐτῶν ἀναμόρφωσιν (ὁπότ᾽ ἂν καὶ ἤρξατο· ἄγνωστος γὰρ τούτων καὶ ἡ ἔναρξις καὶ ἡ τελευτή·) Τῆς οὖν φιλανθρωπίας τοῦ Θεοῦ τὴν ἔκχυσίν τε καὶ ἔκτασιν, παρεσήμανεν ἡ κατὰ τὸν Μακαββαῖον ἐπίνοια· πῦρ δὲ καθαρτήριον, οὐδαμῶς ἄπει·

Ἄλλως τε καὶ τὸ ἔγκλημα περὶ οὗ τὴν προσφορὰν Ἰούδας σημειοῖ ἐπωνόμασιν, οὐ καθαρτηρίῳ πυρὶ, ἀλλ᾽ ἀσβέστοις καὶ κολαστικαῖς ἁρμόζει φλοξὶν· ἦν γὰρ κλοπὴ, ἢ ἱεροσυλία, ἢ εἰδωλολατρεία, καὶ παρακοή· πάντως δεινὸν ἦν, δι᾽ ὃ τὴν παρεμβολὴν ὁ Θεὸς τοῦ Ἰούδα καταστρωθῆναι παρεχώρησε· βλέπεις καὶ τὸ πολυθρύλητον, ἢ πολυθρύλλητον πουργατόριον, ὡς πρὸ τῶν θείων γραφῶν πυρὶ καταναλίσκεται, καὶ διαμένει ἀκράδαντος ἡ εὐσεβὴς τῆς καθολικῆς Ἐκκλησίας τῶν ὀρθοδόξων ἡμῶν ἐπίνοια (κατὰ Ἰούδαν εἰπεῖν τὸν Μακαβαῖον) περὶ πάντων τῶν ἐν εὐσεβείᾳ κεκοιμημένων προσφερούσης τε καὶ πρεσβευούσης (τῶν προφανῶς ἀμετανοήτων ἀπερχομένων ἐξαιρουμένων) καὶ διαρρηγνύσης τὸ ῥωμαϊκὸν πουργατόριον πῦρ· ταύτην δὲ τὴν Ἐκκλησίας τοῦ Χριστοῦ τὴν εὐσεβῆ ἐπίνοιαν ὁ ἱερὸς Αὐγουστῖνος, ἐν ρθ. κεφαλαίῳ τοῦ πρὸς Λαυρέντιον ἐγχειριδίου ἑρμηνεύει· Ὅταν (φησὶν) αἱ θυσίαι αἵ τε τῆς ἱερᾶς τραπέζης, καὶ αἱ τῶν οἱωνοῦν ἐλεημοσυνῶν ὑπὲρ τῶν βεβαπτισμένων κεκοιμημένων ἁπάντων (λέγει διὰ πάντων) προσφέρονται, ὑπὲρ μὲν τῶν ἀγαθῶν, εὐχαριστίαι εἰσίν· ὑπὲρ δὲ τῶν μὴ λίαν πονηρῶν, ἱλασμοί εἰσιν· ὑπὲρ δὲ τῶν πάμπαν πονηρῶν (καίπερ βοήθειαι μὴ τεθνεώτων ὅλως οὐκ εἰσὶ) ζώντων δὲ, παραμυθίαι ὁποιαιοῦν εἰσίν· οἷς δὲ ὠφέλιμοι εἰσὶν ἐπὶ τούτῳ ὠφελοῦσιν, ἢ ἵνα ᾖ τελεία ἡ ἄφεσις, ἢ πάντως ἵνα φορητοτέρα ᾖ ἡ κατάκρισις.

Εἴπω καὶ τὰς λοιπὰς τῆς καινῆς διδασκαλίας καινοφωνίας, ἃς νῦν καὶ κατὰ Χίον τὴν κα-

Αὐγουσ. Ψαλ. ρ. Ἑβραίων Αὐγουσ. Περὶ τῆς τοῦ σαββάτου νηστείας.

τὴν ποίμνην τοῦ Σωτῆρος, τὸ εὐαγγελικὸν λίνον, οἱ τὰς τῆς πρεσβυτέρας Ῥώμης ἢ πρεσβεύοντες, ἢ φρονεῖν ἐπηγγελμένοι σκανδαλίζοντες τοὺς ἀκεραιοτέρους, καταχέουσιν, οἷα ζιζάνια τῷ καλῷ σπόρῳ τοῦ Σωτῆρος, νηστείαν νομοθετοῦσι τοῖς σάββασιν· ὅπερ Αὐγουστῖνος πολυστίχῳ ἐπιστολῇ πρὸς Καζουλανὸν ἀπεδοκίμασε· καὶ πρὸς τὸν κατηγορούμενον τοῦ εὐαγγελίου ῥητοῦ, γνησιώτερον ἑρμηνείαν ὁ θεσπέσιος Αὐγουστῖνος, αὐτεπιφέρει λέγων. Δια τοῦτο ὁ Σωτὴρ ἀμφότερα ἐν σαββάτῳ γενέσθαι βεβούληται· τό, τε ψώχειν τὰς στάχυας, καὶ τὸ ἐσθίειν τοὺς μαθητάς, ἵνα ἐκεῖνο μὲν ᾖ κατὰ τῶν σχολαζόντων, τοῦτο δὲ ᾖ κατὰ τῶν ἀναγκαζόντων νηστεύειν ἐν σαββάτῳ· καὶ οἱ τοῦ Σωτῆρος δὲ ἀπόστολοι, ἐν .ξδ. κανόνι ἀπαγορεύουσιν, Εἴ τις (λέγοντες) κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς (τοῦτο γὰρ καὶ ἡμεῖς νηστεύομεν, τὸ μέγα σάββατον δηλονότι) καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω· ὁ γὰρ περὶ τούτου κανών, ὁ .ξγ. φημί, περὶ πνικτῶν νομοθετῶν, τοὺς ταῦτα ἐσθίοντας ὁμοίως κολάζει· ὃ παρὰ τῇ πρεσβυτέρᾳ Ῥώμῃ, μηδὲ τὴν τῶν ἀποστόλων ἀξίαν αἰδουμένῃ, ἀπεσκυβάλισται· Καθὰ δὴ καὶ τὸν περὶ τῆς ἐν τετράδι νηστείας ἀποβάλλετ' αὐτοδιατεινομένη τοῦ ἀποστολικοῦ .ξς. κανόνος· νομοθετησάντων γὰρ τῶν ἱερῶν ἀποστόλων τοῦ Χριστοῦ τὴν ἐν τετράδι νηστείαν, ἐπεὶ τότε ἡ προδοσία γέγονε, καθὼς ἐν παρασκευῇ τὸ σωτήριον πάθος, αὐτονομοθετῶν ὁ τῆς πρεσβυτέρας Ῥώμης πάπας τοῖς θείοις ἀποστόλοις, τὴν τετράδα νηστείας ἀπήλλαξεν. Παρομοίως καὶ τῶν τριακοσίων ἐκείνων πατέρων τῶν .τιη. θεοφόρων νομοθετησάντων ἐν .κ. κανόνι, μὴ κλίνειν τοὺς πιστοὺς γόνυ κατὰ τὴν κυριακὴν ἢ καὶ καθ' ὅλην τὴν πεντηκοστὴν (οὗ μυστηρίου τὸν λόγον, καὶ ὁ ἱερὸς Αὐγουστῖνος ἐπιστέλλων Ἰαννουαρίῳ δῆλον ἐποίησεν) ἑστῶτας γὰρ τοὺς πιστοὺς βούλεται ἀποδοῦναι τὰς εὐχάς· ὁ δὲ τῆς πρεσβυτέρας πάπας Ῥώμης, καὶ αὐτὴν τὴν λαμπρὰν ἡμέραν καὶ μεγάλην τῆς ἀναστάσεως, γόνυ κλίνειν οὐ παραιτεῖται· εἶτα οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας, τῆς γνησίας νύμφης τοῦ Χριστοῦ, οἱ τῷ Σωτῆρι κατ' ἴχνος εἰλικρινέστατα παρεπόμενοι τοῖς τῶν πατέρων ὅροις ἐφησυχάζοντες, μηδὲν ὅλως ἀντιφθεγγόμενοι ταῖς ἐκκλησιαστικαῖς νομοθεσίαις, μηδὲν προστιθέντες τοῖς ἱεροῖς λόγοις, μηδὲν ἀφαιρούμενοι, διὰ τοῦτο καὶ ὅλως τοῦ Χριστοῦ ξένοι, δι' ὃ τῷ Χριστῷ ἡνῶσθαι πάσαις ψήφοις κρίνεσθαι ἦμεν δίκαιοι, ἤδη δὲ καὶ βλασφημούμεθα (καὶ χαίρομεν βλασφημούμενοι ἀδίκως· λυπεῖ δὲ εἰ σφίσιν αὐτοῖς διὰ τῆς ἀδίκου βλασφημίας ὀργὴν θησαυρίζοντες) ἀλλὰ βλασφημούμεθα οἱ ὀρθόδοξοι· Γραικοὺς ὀνομάζουσι, τοὺς τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἐν ᾗ τῆς καθολικῆς Ἐκκλησίας οἱ ὀρθόδοξοι θησαυροὶ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι ἐνέμειναν συντηρούμενοι· Βλασφημοῦνται τρίτον οἱ ὀρθόδοξοι ὅτι (φασὶν οἱ νέοι ἀρίσταρχοι) τοὺς Γραικοὺς μὴ ἔχειν ἱερωσύνην, ἐπειδὴ εἰσὶν ὑποτεταγμένοι ἀσεβέσιν ἔθνεσιν· ἀλλὰ ταῦτα κρεῖττον ἦν σιωπῇ παραπέμπεσθαι, φθέγξομαι δὲ οὐκ ἀδακρυτί, καὶ τὰ καθ' ἡμᾶς δεινὰ σχετλιάζων (καὶ γὰρ πᾶσιν ἔνδηλα) καὶ τοὺς παραιτίους οὐκ ἀποκρύπτων· χαλεπὴν νῦν μὲν ὑφίστανται αἰχμαλωσίαν τὰ καθ' ἡμᾶς· τῆς δεινῆς δὲ ταύτης αἰχμαλωσίας, αἰτιατέον μὲν τὰς ἡμῶν ἁμαρτίας· αἰτιατέον δὲ καὶ τὴν τῆς Ἐκκλησίας διχοστασίαν· τῆς δὲ διχοστασίας ἀρχιτέκτων καὶ δημιουργός, ὁ ταῖς καινοτομίαις τὴν Ἐκκλησίαν διχοτομήσας. τίς δὲ ὁ τὰς καινοτομίας καὶ τοὺς νεωτερισμοὺς μέχρι καὶ σήμερον εἰς μέσον ἄγων; οὐδένα νομίζομεν ἀγνοεῖν· ἀλλὰ κἂν τούτῳ τῷ χαλεπωτάτῳ σάλῳ, κἂν ταύτῃ τῇ περιδεινῇ ζάλῃ ὁ φιλάνθρωπος Σωτήρ, καὶ δοκῶν καθεύδειν, κυβερνῶν διαφυλάττει τὸ ἑαυτοῦ πλοῖον ἀκαταπόντιστον· ἐσμὲν γὰρ Θεοῦ χάριτι, χριστιανοὶ τὴν ὀρθόδοξον πίστιν (ἣν τῇ καθολικῇ Ἐκ-

κλησίᾳ

Margin notes: Αὐγουστῖνος. — Κανὼν τῶν Ἀποστόλων .ξδ. — Περὶ τῆς ἐν τετράδι νηστείας. — Περὶ γονυκλίσεως. — Περὶ τῆς ἱερωσύνης.

κλησίᾳ παρακατέθεντο οἱ πατέρες, ἀνατολικοί τε καὶ δυτικοί) φυλάττοντες Θεοῦ χάριτι ἀπαράτρωτον· ἣν καὶ αὐτὴ ἡ πρεσβυτέρα Ῥώμη πρὸ τῆς περιθύκης καὶ τῶν νεοτερισμῶν, ὧν ἐξεῦρέ τε καὶ ἐφεύρισκε, καὶ αὐτὴ μεθ' ἡμῶν ἐπρέσβευεν, ὡς μέλος τῆς καθολικῆς Ἐκκλησίας συμφυές τε καὶ τίμιον, καὶ διετέλεσε πρεσβεύουσα μεθ' ἡμῶν, πολλῶν ἐτῶν περιόδους· καὶ τούτων μάρτυρες ἀπαράγραπτοι, οὐ δύο, ἢ τρεῖς, ἀλλὰ σύνοδοι πολλαί· οὐ τοπικαὶ μόνον, ἀλλὰ καὶ οἰκουμενικαί, πολλῶν καὶ ἁγίων πατέρων ὧν τοῖς ὅροις ἡμεῖς ἐμμένομεν Θεοῦ χάριτι, τηροῦντες ἄσυλον τὸν τῆς ὀρθοδοξίας θησαυρόν· καίπερ ἐν σκεύεσιν ὀστρακίνοις· (β.Κορ.δ.) οὕτως ἡμέληται, ἢ ἠμαύρωται τὰ καθ' ἡμᾶς, μεμενηκυίας ἀπαρατρώτου (Θεοῦ φιλανθρωπίᾳ) τῆς πίστεως, ἣν μέχρι σήμερον φυλάττομεν καὶ φυλάττοιμεν Χριστὲ βασιλεῦ ἄχρι τέλους ἀπαράτρωτον· ὁμοίως καὶ τὰ ἑπτὰ τῆς ἀμωμήτου πίστεως μυστήρια ἀκαινοτόμητα· ὧν ἓν καὶ οὐ τὸ τυχὸν τὸ τῆς Ἱερωσύνης μυστήριον· ὅπερ ἐξ ἀρχῆς [illegible], Θεοῦ χάριτι, καθὼς παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων, ὡς παρέδωκαν αὐτοῖς οἱ θεῖοι τοῦ Σωτῆρος ἀπόστολοι, παρ' αὐτοῦ τοῦ Σωτῆρος διδαχθέντες, καὶ κατὰ τὸν Σωτῆρα διδάξαντες καὶ τὴν πίστιν καὶ τὰ τῆς πίστεως· χειροτονούμεθα καὶ χειροτονοῦμεν ἀλληλοδιαδόχως, καὶ ἀδιασπάστως ἐκεῖθεν ἀπὸ τῶν ἱερῶν ἀποστόλων, οὐκ ἐν μιᾷ τινὶ τῶν Ἐκκλησιῶν, ἀλλ' ἐν πάσαις ταῖς Ἐκκλησίαις (ἐκτὸς μιᾶς τῆς Ῥωμαϊκῆς) αἷς συγκροτεῖται ἡ Ἐκκλησία ἡ καθολική· χειροτονούμεθα, φημί, ὥσπερ οἱ ἀπ' ἀρχῆς παρέδωκαν αὐτόπται, καὶ χειροτονοῦμεν ἀπαραλλάκτως. Τοῦτο δὲ δεῖ τὸ θαυμαστόν, ὃ τοῖς ἀνοήτως κρίνειν ἐθέλουσι, φαίνεται καταγέλαστον, ὅτι καὶ τὰ ἔθνη (οἷς ὑποτετάχθαι ἡ τοῦ Χριστοῦ Ἐκκλησία φαίνεται) ὁ φιλάνθρωπος Θεὸς λόγοις ἀρρήτοις σοφίας ξενοτρόπως ὑποτάττει τῇ Ἐκκλησίᾳ· καὶ διδάσκει διὰ βασιλικῶν προσταγμάτων πᾶσαν ἄδειάν τε καὶ δύναμιν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ πράττειν ἀκωλύτως τὰ ἑαυτῆς· καὶ σχεδὸν πᾶσαι αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι διαμένουσιν ἀτελεῖς· τὰ δὲ τάγματα τῶν μοναχῶν, οἷς εἰσί τε πανταχοῦ καὶ πανταχῇ φοιτῶν τέλοις πάντως ἀπηλλαγμένα, καὶ δόγμασι κεκύρωται τυραννικοῖς. εἰ δέ πού τις τῶν Ἐκκλησιῶν καὶ τέλος τελεῖ, θαυμαστὸν οὐδὲν τοῖς, τοῦ Σωτῆρος, καὶ Ἰχθύος, καὶ Πέτρου, καὶ τῆς τοῦ Σωτῆρος παραγγελίας μεμνημένοις. Χλεύης οὖν καὶ ἐμπαιγμῶν ἀξία νομίζεται ἡ τηλικαύτη τοῦ φιλανθρώπου Θεοῦ φιλάνθρωπος κηδεμονία καὶ περιπολεμίαν φυλάττουσα τὴν ἐκκλησίαν αἰδέσιμον; ὡς ποτὲ παρὰ τοῖς ἀλλοφύλοις τοῦ μαρτυρίου τὴν κιβωτόν;

Λέγονται δὲ ὡς ἤδη καὶ τῶν μακρῶν νηστειῶν τε καὶ ἀγρυπνιῶν κατηγορεῖν, καὶ τῶν μεσονυκτικῶν ὕμνων ὡς μὴ ἀναγκαίων, μάλιστά γε τοῖς κοινωνεῖν ἐθέλουσι τῶν ἀχράντων μυστηρίων, ἓν καὶ μόνον νομοθετοῦντες τὴν τῶν μυστηρίων καθημέραν κοινωνίαν· δίχα τυχὸν καὶ τῆς προστεταγμένης παρὰ τοῦ ἀποστόλου δοκιμασίας, ἵνα μή τις ἀναξίως ἐσθίων καὶ πίνων, καὶ μὴ διακρίνων τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Ἀλλὰ κατηγοροῦσι τῆς ἀγρυπνίας καὶ τῶν νυκτερινῶν προσευχῶν, ὡς μὴ ἀναγκαίων (λέγω δὲ ἀναγκαίων, εἰς μείζονα εὐλάβειαν καὶ παρασκευὴν τῶν μελλόντων μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων, καὶ τυχὸν τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν πλατεῖαν καὶ εὐρύχωρον κατασκευάσαι διατεινομένους, ὡς πολὺ τὸ εὐχάριστον ἔχουσαν καὶ τὸ εὐάρεστον τῇ σαρκί) λανθάνει αὐτούς, καὶ ὁ Ῥώμης τῆς πρεσβυτέρας Γρηγόριος, ὁ πάλαι νομοθετῶν τὰς παραφυλακὰς ταύτας, ἐν οἷς περὶ τῆς θείας μυσταγωγίας διαλέγεται· οὐκ ἀναγινώσκουσι τὰ κατὰ τοὺς ἱεροὺς ἀποστόλους μεσονύκτιον ἐγειρομένους, ἢ καὶ εἰς μέσας νύκτας τὸν ἱερὸν λόγον ἐκτείνοντας; οὐδὲ Δαβὶδ ἀκούουσι, μεσονύκτιον ἐξεγειρομένου, καὶ ἐξομολογουμένου τῷ Θεῷ,

Περὶ νηστειῶν καὶ προσευχῶν.

α. Κορ. κεφ. ια.

ψαλμ. ριη.

« ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ, καὶ φάσκοντος ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, καὶ « ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας ἐξομολογήσομαί σοι· οὐδὲ τὰς τῶν ἀποστόλων καὶ τῶν πατέρων διατάξεις λόγου τινὸς ἀξιοῦσι τὰς τὰ καθ' ἡμᾶς πάντα συνισταμένας, οἱ καθάπαξ ἐντελίζειν τὰ καθ' ἡμᾶς ἐγνωκότες, ἵνα πρὸς ἑαυτοὺς τὴν τοῦ Χριστοῦ νεολαίαν ἑλκύσωσιν εἰς οὕτως ἀπρεπεῖς λόγους παραφέρονται, πικρότατα προσφερόμενοι τοῖς ἐν ἀνάγκαις· παυσάσθωσαν δή, παυσάσθωσαν, καὶ μὴ τὰς ἡμετέρας θλίψεις τε καὶ ταλαιπωρίας ταῖς παρ' αὐτῶν ἐπηρείαις προσανώμενοι, λύπας λύπαις ἐπιφέρωσιν· Ἡμεῖς τοῖς ἐρχομένοις ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης, πᾶσαν ἐνδεικνύμεθα φιλανθρωπίαν, οὐ πόνων, οὐ δαπάνης, οὐδὲ κινδύνων φειδόμενοι· σαφῶς οἴδασιν ὃ λέγω, καὶ οἱ παρ' ἡμῖν πατέρες Ἰησουῖται, πεῖραν τῆς ἡμετέρας ἐπιεικείας λαβόντες· ἀλλ' ἢ ἠρεμεῖν, ἢ τὸν πόλεμον κατὰ τῶν ἀσεβῶν ἄρασθαι, ἢ ἀντιπλάσθαι τοῖς ὁμοφύλοις αὐτῶν τοῖς κατὰ τὴν ἑσπέραν τὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀνακρίνουσι, τάς τε παρ' ἐκείνων δεινοτάτας κατηγορίας κατὰ τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης ἀποσκευάζειν ἐπιχειρεῖσθαι· ἀλλὰ μὴ καθ' ἡμῶν ἀπηνῶς οὕτως ἐκφέρεσθαι, καὶ τολμᾶν λέγειν ὅτι οἱ μὴ πειθόμενοι ὡς κεφαλῇ τῷ τῆς πρεσβυτέρας Ῥώμης πάπᾳ, οὐδὲ χριστιανοὶ τὴν ἀρχήν εἰσιν· πλανώμενοι γὰρ καὶ πλανῶντες ταῦτα δογματίζουσιν· οὐ γὰρ συμφωνοῦσι σφίσιν αὐτοῖς· Εἰ γὰρ οὐκ ἡγοῦνται χριστιανοὺς τοὺς τῆς Ἀνατολικῆς Ἐκκλησίας παῖδας ἡμᾶς (παρ' οἷς καὶ μόνοις τὰ τῆς καθολικῆς Ἐκκλησίας καὶ ὀρθοδόξου, δόγματα, μυστήρια, παραδόσεις, ἀπαρασάλευτα) εἰ τοίνυν οὐχ ἡγοῦνται χριστιανοὺς ἡμᾶς, ὅτι τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης οὐ πειθώμεθα, ἰδίοις ὁρμαῖς ἄγοντι τὸ πᾶν, καὶ φαντάζονται ἱερωσύνης ἐστερημένους, πῶς οὐ βαπτίζουσιν οὐδὲ χειροτονοῦσιν, οὓς ἂν ἀποστήσωσι τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἢ λαϊκούς, ἢ τοῦ βήματος; ἀλλ' ἴσως ἐροῦσιν, ἃ οἴδαμεν· οἴδαμεν ὅτι τῷ Ῥώμης δέδοται ἡ κρίσις, καὶ αὐτὸς οὕτως εἰσηγεῖται, καὶ τὸ πραττόμενον νομοθετεῖ, καὶ ὡς βούλεται πράττει, ἀνυπεύθυνος ὤν, καὶ μηδενὶ κριτηρίῳ ὑπόδικος· Ἀλλ' ἴσωσιν καὶ αὐτοί, πρῶτον μέν, ὅτι οἱ τῆς Ἐκκλησίας τε καὶ πολιτείας νόμοι αὐτοὺς ἐν αἰτίᾳ τυγχάνοντας οὐκ εἰσκρίνουσιν, οὐδὲ εἰς κατηγόρων (πολλοῦ γε καὶ δεῖ) εἰς κριτῶν μοῖραν· εἶτα, οὐδὲ τῇ Ῥωμαϊκῇ μόνῃ Ἐκκλησίᾳ μιᾷ οὔσῃ τῶν Ἐκκλησιῶν, ἐξέσται πασῶν τῶν Ἐκκλησιῶν κατηγορεῖν· πρὸς τούτοις δέ, ἡμεῖς οὔτε δόγματα καινά, οὔτε προσφάτους παραδόσεις εἰσάγομεν, ἀλλὰ τοὺς εἰσάγοντας, ὡς οὐκ ὀρθοποδοῦντας καὶ καινοτόμους ἀποστρεφόμεθα μάλα δικαίως καὶ εὐσεβῶς τῶν πατρικῶν ἐχόμενοι· ἐπὶ πᾶσι δέ, οὐδὲ δυνατὸν ἐστὶν μομφήν τινα προστρίβεσθαι ἡμῖν ὑπὲρ ὧν πρεσβεύομεν μέχρι τῆς ἑβδόμης συνόδου· (ἵνα καὶ τὴν ἐπὶ Βασιλείου τοῦ μακεδόνος γενομένην παραδράμωμεν, ἐν ᾗ τὴν ἐν τῷ συμβόλῳ προσθήκην τήν, καὶ ἐκ τοῦ υἱοῦ, ἀπέβαλλον συμφώνως) ἀδύνατον οὖν ἐστὶν μομφήν τινα προστρίβεσθαι ἡμῖν, εἰ μὴ καὶ τοῖς ἁγίοις πατράσιν ἀνατολικοῖς τε καὶ δυτικοῖς, καὶ τοῖς ἱεροῖς ἀποστόλοις, καὶ αὐτῷ τῷ Σωτῆρι δι' ὧν ἔχομεν, ὡς ἐδείξαμεν, ἃ πρεσβεύομεν· Ἀλλ' ἀσυλλόγιστον κακὸν ἡ πονηρία· τῷ ψεύδει καὶ τῇ ἀδικίᾳ συνηγοροῦσιν οἱ πολεμοῦντες ἡμᾶς· τί δὲ γὰρ δίκαιον τὴν καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἑνὶ τῷ τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπῳ, ὡς καθολικῇ κεφαλῇ, καὶ μόνῳ ἐπισκόπῳ, καὶ τῶν λοιπῶν ἁπάντων πρυτάνει, νομοθέτῃ, καὶ καθηγητῇ, προστάττειν ἤδη ἀρξαμένῳ μετὰ φρικτῶν ἐκείνων διορισμῶν, ὅτι τάδε προστάττομεν; * Σιωπῶ γὰρ τὴν πᾶσιν ἀείδηλον νομοθεσίαν ἐκείνην, ἣν ὁ Γρατιανὸς ἀνεγράψατο· ὅτι τῷ τῆς πρεσβυτέρας ῥώμης πάπᾳ καὶ κατακρημνίζοντι εἰς ᾅδου καταρβάτην, τουτέστιν ἀγεληδόν, ὃ σωρηδόν (εἰς ἔνδειξιν δηλονότι τῆς τοῦ κράτους ὑπερβολῆς) τὰς τῶν ἀνθρώπων ψυχάς, μηδένα

τολμᾶν

τολμῶσιν ἀντοφθαλμῆσαι· ποῦ δίκαιον σύμπασαν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἠνδραποδίσθαι, ἢ πότε ἠνδραπόδισαν τὸν τῆς Ῥώμης ἀρχιερέα; πότε ὁ Ῥώμης κεχειροτόνηκε Πατριάρχην Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, τῶν ἀποστολικῶν καὶ ἰσοτιμῶν θρόνων ἀρχιερεῖς; ἃ νῦν βλέπομεν, οὐ ὡς ἐν ἀγορᾷ παιδίων, ἢ ὡς ἐν σκηνῇ τραγικῇ παιζόμενα; Ἡμεῖς τῷ Σωτῆρι πειθόμενοι, τοῖς ἀποστόλοις, τοῖς πατράσι, καὶ τοσαύταις καὶ τηλικαύταις συνόδοις οἰκουμενικαῖς τε καὶ τοπικαῖς, πάπας πολλοὺς καὶ ἁγίους τῆς πρεσβυτέρας Ῥώμης ἐχούσαις συμφώνους, μίαν, οὐ δύο ὁμολογοῦμεν καὶ κηρύττομεν Ἐκκλησίαν· ἧς καθολικῆς οὔσης, μίαν οἴδαμεν καὶ καθολικὴν κεφαλὴν τὸν Χριστὸν ὡς ἔφη Παῦλος· θεμέλιον, πέτραν, τὸν Χριστὸν, ὡς ἐδίδαξε Παῦλος· ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ τῇ μιᾷ τῇ καθολικῇ, πολλὰς οἴδαμεν τὰς κεφαλὰς τῶν κατὰ μέρος μεγάλων Ἐκκλησιῶν, τοὺς πατριάρχας δηλονότι τῶν θρόνων τῶν καθολικῶν· ὧν ἕνα καὶ τὸν τῆς πρεσβυτέρας Ῥώμης γεραίρομεν, μέχρις οὗ τὰ τῆς ὀρθοδοξίας παρ' αὐτῷ ἔχουσιν ὑγειῶς· προσθήκας ἢ ἀφαιρέσεις οὐ προσιέμεθα, τοῦτο γὰρ διὰ Μωσέως προστάττει Θεός· Παῦλος ἀπαγορεύει, καὶ μετὰ Παῦλον, οἱ πατέρες, ἐκφωνήσαντες τοῖς τἀναντία τολμήσασι ἀνάθεμα· μετὰ ταύτης τῆς καθολικῆς Ἐκκλησίας καὶ ἐν ταύτῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, συμπάσχομεν Χριστῷ, ἵνα συνδοξασθῶμεν· εἰς ταύτην τὴν καθολικὴν καὶ μίαν ποίμνην τοῦ Σωτῆρος Χριστοῦ, πάντας παρακαλοῦμεν εἰσελαύνειν· μὴ μεταίροντες ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, μὴ τῷ τοῦ Θεοῦ προσκρούσωσι διατάγματι· μὴ ἄλλο τι παρ' ὃ παρελάβομεν εὐαγγελιζομένους, μὴ προσθήκαις ἢ ἀφαιρέσεσι τὸ ἱερῷ συμβόλῳ τῆς πίστεως ἐπηρεάζοντας, μὴ τῷ παρὰ Παύλου καὶ τῷ παρὰ τῆς συνόδου ὑπόδικοι καταστῶσιν ἀναθέματι· μὴ συμπεριφερομένους τῇ τοῦ κόσμου σοφίᾳ, ἵνα μὴ κενώσωσι τὸ μυστήριον τοῦ σταυροῦ· μὴ παρακρουομένους πλοκαῖς τῆς ψευδωνύμου γνώσεως καὶ ταῖς τοῦ κόσμου ποικίλαις διδασκαλίαις· μὴ τὴν ἀμώμητον συλλαγωγηθῶσι πίστιν· μὴ δελεαζομένους ταῖς τοῦ βίου προσπαθείαις τε καὶ εὐπαθείαις τῆς μερίδος ἐκπέσωσι Λαζάρου τοῦ πτωχοῦ· ἀλλὰ τῶν ἐπαγγελιῶν μεμνημένους τοῦ Σωτῆρος, καὶ τῷ Σωτῆρι ἀκολουθοῦντας, εὐθυδρομεῖν ὀρθοποδοῦντας· Δέδια γὰρ ἀδελφοὶ τὰς μηχανὰς καὶ πανουργίας τῶν τοῖς ἡμετέροις ἐπιφοιτώντων ἐν σχήματι προβάτων, καὶ διὰ τῆς χρηστολογίας πειρωμένων παρεκκλίναι τὰς τῶν ὀρθοδόξων διανοίας, πανταχόθεν θλιβομένας καὶ στενοχωρουμένας, καὶ μηδὲ μίαν ἐχούσας παρὰ τῶν ἰδίων ποιμένων, ἢ ψυχῶν παράκλησιν, ἢ σωμάτων θεραπείαν· δέδια οὖν παραπλησίως τῷ μεγάλῳ Βασιλείῳ, τοῦτο μόνον διαφέρων ἐκείνου, ὅτι πρὸς οὓς ἐκεῖνος ὠλοφύρετο βοηθείας ἐλπίδας τυχεῖν ταῖς παρὰ τῶν ψευδαδέλφων ἐπαγομέναις τοῖς ὀρθοδόξοις ἐπηρείαις, κατ' αὐτῶν ἡμεῖς ὀλοφυρόμεθα πολεμούμενοι· κοὐ τοῖς Ἰταλοῖς, ἢ τοῖς λοιποῖς τῶν ἑσπερίων μεμφόμεθα τοῖς, πάσαις ἀρετῶν ἰδέαις, καὶ φιλανθρωπίᾳ κεκοσμημένοις, οἷς καὶ κράτος ἀήττητον, καὶ ἀστασιάστους ἀρχὰς, καὶ διηνεκεῖς εὐημερίας εὐχόμεθα· πᾶσαν τε ἀγάπην καὶ δεξίωσιν πανταχοῦ πρὸς αὐτοὺς ἐνδεικνύμεθα· μόνον δὲ τὸν τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερέα, τῆς διχοστασίας βλέπομεν αἴτιον· καὶ ὑπερθρηνοῦμεν, οἷς βλέπομεν, καὶ οἷς ἐκεῖθεν πάσχομεν ὀδυρόμεθα· Ἀλλὰ Βασιλείου ἀκούσωμεν ὀλοφυρομένου τὰ καθ' ἑαυτὸν, τοῖς καθ' ἡμᾶς παρομοίως ἔχοντα· ἐπῆλθεν οὖν πρὸς τοὺς τῆς ἑσπέρας ἀρχιερεῖς ταῦτα λέγειν. « Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς βλεφάροις μου πηγὰς δακρύων, καὶ κλαύσομαι τὸν λαὸν ἡμέρας πολλὰς, τὸν ταῖς πονηραῖς ταύταις διδασκαλίαις (οἵας καὶ αὐτοὶ μικρὸν πρότερον ἀπηριθμησάμεθα κατὰ

Βασίλ

τὴν εὐσεβεστάτην Χίον ζιζανίων δίκην παρεσπαρμένας) πρὸς τὴν ἀπώλειαν συνωθούμενον· παρασύρονται τῶν ἀκεραιοτέρων αἱ ἀκοαὶ· εἰς συνήθειαν λοιπὸν ἦλθον τῆς εἰπεῖν καὶ αὐτὸς τὴν αὐτὴν τῷ Βασιλείῳ φωνὴν, ἣ σιωπήσω πολλὰ φιλανθρωπευόμενος τοῖς διασύρουσιν, ἤδη δὲ καὶ βλασφημοῦσιν ἀνερυθριάστως τὴν Ἀνατολικὴν Ἐκκλησίαν· Σαντῆρος γὰρ ἐν οἷς περὶ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης συνέγραψεν ἀρχῆς, ἢ μοναρχίας ἐκκλησιαστικῆς, τῇ τοῦ διαβόλου (φεῦ τῆς βλασφημίας) συνέταξε συναγωγῇ, εἰς συνήθειαν ἦλθον τῆς διεστραμμένης διδασκαλίας· συνεκτρέφεται τὰ νήματα τῆς Ἐκκλησίας τοῖς ἐν λόγοις τοῖς (ἵν' οὕτως εἴπωμεν ἡμεῖς) τῆς ἀπάτης· τί γὰρ καὶ ποιοῦσι βαπτίσματα παρ' ἐκείνων, προπομπαὶ τῶν ἐξοδευόντων, ἐπισκέψεις τῶν ἀσθενούντων, παρακλήσεις τῶν λυπουμένων, βοήθειαι τῶν καταπονουμένων, ἀντιλήψεις παντοδαπαὶ, μυστηρίων κοινωνίαι, ἃ πάντα δι' ἐκείνων ἐπιτελοῦμεν, σύνδεσμος γίνεται τοῖς πολλοῖς, τῆς πρὸς αὐτοὺς ὁμονοίας; ὥστε μικροῦ χρόνου προελθόντος, μηδὲ (εἰ γένοιτο τις ἄδεια) ἐλπίδα λοιπὸν εἶναι τοὺς ὑπὸ τῆς χρονίας ἀπάτης καταχεθέντας, πάλιν πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἀνακληθῆναι· ἐν τούτοις Βασίλειος τὰ οἰκεῖα θρηνῶν, τῶν ἡμετέρων σχεδὸν προεζωγράφισε τὴν εἰκόνα· Ἀλλὰ μὴ συλληθῶμεν ἀδελφοὶ τὸν τῆς ὀρθοδοξίας θησαυρὸν, κἂν ἐν ὀστρακίνοις (λέξω γὰρ πάλιν ἡδέως τὰ τοῦ Παύλου) φερόμενον σκεύεσι, τὰς ἡμετέρας λέγω ταλαιπωρίας, τὰς πενίας, τὰς ὑστερήσεις, οὐ μόνον τῆς λοιπῆς τοῦ βίου εὐημερίας, καὶ περὶ πάντων, καὶ ὑπὲρ πάντα, Χριστὸς ἡμῖν ἔστω, καὶ πτωχὸς, καὶ ξένος, καὶ γυμνὸς, καὶ πάσχων, καὶ θανατούμενος θάνατον σταυροῦ· τοῦτον μὴ αἰσχυνθῶμεν διὰ τῆς μωρίας τοῦ κηρύγματος, οὐκ ἐν τῇ σοφίᾳ τοῦ κόσμου σῶσαι τὸν κόσμον εὐδοκήσαντα· οὗ ἡ χάρις καὶ τὸ ἔλεος, εἴη μετὰ πάντων ὑμῶν, ἀμήν: ζρς. ἐν Κωνσταντινουπόλει.

β Κορινθ. δ.

Τοῖς κατὰ Ἀπωλονίαν εὑρισκομένοις ὀρθοδόξοις χριστιανοῖς Ῥώσοις τε καὶ Ἕλλησι, τοῖς τε θεοφιλεστάτοις ἀρχιερεῦσιν, εὐλαβεστάτοις ἱερεῦσι, τιμίοις ἄρχουσι, καὶ παντὶ τῷ χριστωνύμῳ λαῷ, υἱοῖς ἐν κυρίῳ περιποθήτοις· χάριν ἔλεος καὶ εἰρήνην.

Μέχρις ἐκείνου τὸ συγγράφειν ἦν ἡδὺ, μέχρις οὗ μόνον ἦν ἐπίπονον· παρεμυθεῖτο γὰρ τὸν πόνον τῆς γραφῆς ἡ τῆς σπουδῆς ἡδονὴ, καὶ τὸ τῶν ἐντυγχανόντων ἐλπιζόμενον τοῖς συγγράφουσιν ὄφελος· Ἐπεὶ δὲ κίνδυνον φέρει τὸν ἔσχατον τὸ γράφειν, ἀμβλύνεται μὲν ἡ ἐπὶ τοῦτο πᾶσα ὁρμὴ, γράφομεν δὲ (εἴπου τι δέῃ) κατ' ἀνάγκην μετ' ἀηδίας· τοῦτο μοι τῶν ἡμερῶν ἡ πονηρία προὐξένησεν· ἀφ' οὗ δὴ πρεσβεύσας, τοὺς Σκύθας μὴ διαπράξοντας τὸν ἴσον ἐκστρατεῦσαι κατὰ Χριστιανῶν, καὶ εἰσακουσθεὶς, τηλικοῦτον ἐπεσπασάμην τὸν κίνδυνον, ὥστε μόλις τὴν ἐπὶ θανάτῳ ἐκφυγεῖν ζημίαν· ζῶν δὲ νῦν, οὐ πόρρω πικροτάτου θανάτου· διὰ τοῦτο ἐβουλόμην καὶ ὑμᾶς ἡσυχάζειν, τῶν ζητήσεων ἀφεμένους· καὶ γὰρ καὶ ὑμῖν ἀσφαλὲς τῶν πατρῴων ἀπεριεργάστως ἐχομένοις δογμάτων τε καὶ ἠθῶν, καὶ ἡμῖν οὐκ ἐπικίνδυνον ἀπαλλαττομένοις ὑπο-

ρίων ἐπιστολῶν· οὐ γὰρ ἀκινδύνως περιπολοῦσι τὰ γράμματα (μάλιστά γε τὰ ἐμὰ τῇ γε νῦν ἔχοι) τῶν πολέμων ἀκμαζόντων, ὕποπτά τε κατασκευαζόντων πάντα σχεδόν.

Ἀλλὰ φέρε καὶ νῦν πρὸς ἃ γράφετε ἀντεπιστελλόμενοι· ῥίψωμεν καὶ τάδε τὰ γράμματα, Θεῷ τεθαρρηκότες τῷ φιλανθρώπῳ, τῷ τὰ ἡμέτερα λόγοις ἀρρήτοις πρυτανεύοντι καὶ ὁδηγοῦντι καὶ οἰκονομοῦντι κρεῖττον ἢ ἐλπίζομεν. Πρῶτον μὲν οὖν παρακαλῶ, μὴ περιεργάζεσθαι ὑμᾶς δεῖ μικροσκοποῦντας τὰ τῆς Ἐκκλησίας δόγματά τε καὶ ἤθη καὶ τάξεις· τὸ μὲν εἰδότες, ὅτι τοῖς πατράσιν οὐκ ἦν ὅλως δεδοκίμασται ἀναξίως τοῦ πνεύματος· πῶς γὰρ εἰ τοῦ πνεύματος φρονοῖεν ἢ παραλλάττοιεν ἄν τι ἀτάκτον τῷ πνεύματι; τὸ δὲ, ὅτι κρεῖττόν ἐστι, καὶ τὴν βλάβην ἧττον αἱρεῖν, τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκατιόντας φέρειν τι, ἢ διὰ τὸ ἀκριβοδίκαιον συγχέειν τὸ πᾶν· οὕτω Παῦλος καὶ Ἰουδαίοις γέγονεν Ἰουδαῖος, καὶ ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Χριστῷ, ἀλλὰ τοῖς πᾶσι γεγονὼς τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσῃ· καὶ μὴ διαιρῶμεν τὴν Ἐκκλησίαν ὑπὸ μικροψυχίας βραχέσι τισὶν ἀπαρεσκόμενοι· Μὴ ἔχθαιρε τὸν φίλον (φησὶν οὐκ ἀμούσως ἐκεῖνος) ἁμαρτίας εἵνεκα μικρᾶς· μὴ ζητῶμεν προφάσεις (κατὰ τὸν Σολομῶνα εἰπεῖν) βουλόμενοι τὰ τῆς φιλίας διασπᾶν· εἰ μή που τις τῶν δογμάτων ἀνάγκη τὴν ἀναχώρησιν βιάζεται· τότε γὰρ χώραν ἕξει ἡ τοῦ Χριστοῦ μάχαιρα ἣν βαλεῖν ἦλθεν ἐπὶ τῆς γῆς· καὶ ἡ σωτήριος μάχη τῆς κακῆς εἰρήνης φιλικωτέρα· τὸ γὰρ μέλος τὸ ἀσθενὲς ἐν τοῖς ὑγιαίνουσι ῥαδίως θεραπεύεται) μὲν, γίνεται δὲ τοῖς εὐρωστοῦσι τοῦ προσκόπτειν ἀφορμὴ, καὶ τοὺς μὴ παραπαίειν προφυλακή· τοῦτο μὲν οὖν πρῶτον παρακαλῶ, ὑφορώμενος καὶ τὰς ἐκ τῶν ζητημάτων διχοστασίας, καὶ φιλονεικίας, καὶ διαιρέσεις, καὶ διαμερισμοὺς, καὶ ἐρημώσεις· ἀλλὰ καὶ ζητοῦντες, οὐκ ἂν ἔχητε ῥαδίως τὸν ἀνοίξοντα τῶν κεκλεισμένων τὰς εἰσόδους· διὰ τοῦτο (ἐγὼ οἶμαι) κελευόμεθα μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν· καὶ τὸ, Ἡ γνῶσις φυσιοῖ, ἡ δ' ἀγάπη οἰκοδομεῖ· ἀκεραίους εἶναι βούλεται ὁ λόγος τοὺς οἰκείους ὡσεὶ περιστεράς· ἢ καὶ φρονίμους ὡς οἱ ὄφεις, ἵνα μή τις ἐξαπατᾷ κενοῖς λόγοις, τῆς τοῦ κόσμου δηλονότι σοφίας, ἥτις μωρία παρὰ Θεῷ ἐστι, καὶ οὐ δέχεται τὰ τοῦ πνεύματος· Τὰ καὶ καθ' ἡμᾶς οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις· μὴ οὖν πάντα περιεργαζώμεθα, τῇ τοῦ κόσμου σοφίᾳ ἐπιτρέποντες τὸ πᾶν· δῶμεν τῷ πνεύματι ἑαυτοὺς· ἀκολουθῶμεν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ· ἐκεῖνο τὸ προφητικὸν ἐννοῶμεν, τὸ Κτηνώδης ἐγενήθην παρὰ σοὶ, ἐγὼ δὲ διαπαντὸς μετὰ σοῦ· τὴν γὰρ σοφίαν ἀπωσάμενοι τοῦ κόσμου, καὶ κατ' αὐτὴν ἄσοφοι φαινόμενοι, καὶ τῇ ἁπλῇ τοῦ πνεύματος ἀκολουθοῦντες διδασκαλίᾳ, κτηνώδεις μὲν τῇ σοφίᾳ τοῦ κόσμου γινόμενοι, καὶ Θεῷ παραστάμενοι δίχα τῆς τοιαύτης σοφίας, μετὰ Θεοῦ πάντως ἐσμὲν Θεῷ συγγινόμενοι· μὴ οὖν περιεργάζεσθε ἀδελφοί· μάλιστα δὲ ὅτι διδασκάλων ὑστεροῦμεν, τὰς ἀμφισβητήσεις διευκρινουμένων ζώσῃ φωνῇ διελθεῖν· Ἆρ' οὖν γὰρ τὰ περὶ τὰ Θεῷ παραχωρήσει δικαίᾳ, ἡ πρόδρομος τοῦ ἀντιχρίστου ἐπικρατήσασα πλάνη τῆς ἀραβικῆς ἀλώπεκος, τῆς καταχρωμένης τῷ τοῦ Χριστοῦ εὐαγγελίῳ εἰς τὴν τοῦ ἀμπελῶνος Χριστοῦ λύμην τε καὶ διαφθοράν· τὸν λύκον λέγω τὸν ἅρπαγα, τὸν λυμηνάμενον, καὶ ἀποσκεδάσαντα, καὶ θύσαντα, καὶ ἀπολέσαντα, τὰ τοῦ Σωτῆρος πρόβατα· τὸν ἔνδυμα δίκην εὐαγγελικὸν βεβλημένον (γράφει γὰρ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ὁ τοῦ εὐαγγελίου πολέμιος, καὶ αὐτὸν τὸν Χριστὸν κηρύττει λόγον Θεοῦ, ὁ Θεὸν εἶναι ἀρνούμενος τὸν Χριστόν· οὕτως ἀπονενόηκεν ἡ πονηρία· εἶναι τε βούλεται ἑαυτὸν, τὸν ἐν εὐαγγελίοις ἐπηγγελμένον παρὰ Χριστοῦ ὁ ἀπατεὼν, ὁ πνευματομάχος, καὶ σὰρξ ὅλως ἀντὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος

Κορ α. κεφαλ. θ.

Πυθαγόρ.

Κορ α. κεφαλ. β.

Ψαλ.

([illegible])

(φεῦ τῆς τυφλωττούσης βλασφημίας) ἢ Χριστοῦ ὅλως ὁ σαρκικὸς, ὁ τὴν γαστέρα καὶ τὰ ὑπὸ γαστέρα θεοποιήσας, καὶ τεθέμενος εὐδαιμονίαν ὁ κακοδαίμων τῆς σαρκὸς τὴν εὐπάθειαν καὶ ἐμπαθῆ βιοτήν· ὁ κατὰ Χριστοῦ ποικιλότροπα στρατευόμενος· ὁ σκότος ἀραβικὸν αὐτῇ φωτὸς εὐαγγελικοῦ τῆς οἰκουμένης ἁπάσης κατασχέων) ἀφ' οὗ δὴ οὖν ταῦτα κρατήσαντα ἡ πάνδημος αὕτη λύμη καὶ φθορὰ, τὰς μὲν βίβλους τῆς καθ' ἡμᾶς, καὶ τῆς ἑλληνικῆς σοφίας κατακαῆναι προστάξασα, πειρωμένη δέ τι τὴν ἐράσμιον φωνὴν τὴν ἑλληνικήν· ὅτε καὶ (καθά μοι Ἰωακεὶμ τὶς γέρων διηγεῖτο) κατ' Αἴγυπτον τριάκοντα χιλιάδες ἀπετμήθησαν γλωσσῶν ἡμέρᾳ μιᾷ, λαλήσασαι μόνον ἑλληνικῶς· ἀφ' οὗ τοίνυν τὰ ζιζάνια ταῦτα παρεμπαρέντα, καὶ αἱ θανατηφόροι αὗται συμφυεῖσαι ἄκανθαι, τὸν σπόρον ὑπερνικῶσαι καὶ καταπνῖξαι φιλονεικοῦσαι τὸν εὐαγγελικόν, ἀφ' οὗ φημὶ τὰ δεινὰ ταῦτα τὴν οἰκουμένην κατέλαβον κακὰ, τὰ τῆς σοφίας τοῦ Θεοῦ νάματα συστέλλεσθαι ἀρξάμενα, τὰ καθ' ἡμᾶς ἐν αἰχμαλωσίᾳ κατέλιπε· πείνῃ τε καὶ δίψῃ τῆς οἰκουμένης κατέδραμε· καὶ γὰρ καὶ ἕως τὰ ἑσπέρια κάκωσιν ὑπέμεινε πέρα δεινῆς· εἰ μὲν γὰρ προσδήλους αἰχμαλώτους ἐς τοῦτο κακῶν ὤκειλαν, ὥστε μόλις τὴν τοῦ Χριστοῦ πίστιν διασώζειν, ἀκήρατον μέντοι Θεοῦ χάριτι καὶ ἀκίβδηλον μετὰ πολλῶν μὲν κινδύνων καὶ χαλεπῶν· οἱ δὲ τοιαύτης μὲν αἰχμαλωσίας (Θεοῦ φιλανθρωπίᾳ) καὶ τῶν ταύτης δεινῶν μεμενηκότες ἀμέτοχοι, στάσεις ἄλλαι κατὰ μικρὸν ὑφιστάμενοι οὐκ ἀνενόχου οὔσης ἑκατέρων τῶν δεινῶν τῆς Ἐκκλησιῶν διαιρέσεως, ἣν τὸ ὑπέρογκον τῆς δόξης τῶν φιλονεικούντων εἶναι αὐτὴ Χριστοῦ, παρεσκεύασέ τε καὶ κατειργάσατο) προσπαλαίουσι καὶ αὐτοὶ συγχύσεων ἄλλαις συμφοραῖς· οὕτως εἶδε τῆς ἡμῶν σωτηρίας ὁ ἐχθρὸς καὶ πολέμιος, ἄλλοις ἄλλους καταπιτρώσκειν πυρακτουμένοις βέλεσιν, εἰς ἕνα πολυτρόπως ὠθούμενος πάντας βάραθρον ἀπωλείας, καὶ οὐδένα φιλοτιμούμενος τῶν ἰδίων ἀφεῖναι τεχνασμάτων ὁ πανώλης ἀπείρατον· ἀπαιτούσης οὖν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τὴν εὐσέβειαν διδασκόντων, μὴ περιεργάζεσθαι τὰ τῆς Ἐκκλησίας συμβουλεύσαιμ' ἂν, ἀρκούμενοι οἷς ἐνομοθέτησαν οἱ πατέρες, οὐδεμίαν προσθήκην ἢ ἀφαίρεσιν προσιεμένους, φυλάττοντες δὲ τὰ δόγματα ἀπαράτρεπτα, καθὼς (Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι) ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἡ Ἀνατολικὴ δηλαδὴ φυλάττει, τὰς δὲ ἀσθενείας τῶν ἀδελφῶν φέροντες ἐν πνεύματι πραότητος κατὰ τὴν παραγγελίαν τὴν ἀποστολικὴν, καὶ μὴ εὐθὺς ὡς ἴδῃ τις ἀδελφὸν (καίτοι οὐ τοῦτο πρῶτον ὑπορεῖται) χρέα προσφέροντα τῇ Ἐκκλησίᾳ, ὥστε εὐλογηθῆναι ἢ ἁγιασθῆναι, τὴν ἁπλότητα ταύτην τῆς εὐλαβείας κηρύττειν ἀσέβειαν καὶ εἰδωλολατρείαν. Ἀλλὰ καιρὸς τῶν ζητημάτων ἐφάψασθαι, ἀρξάμενος ἐκ τοῦ πρώτου, καὶ ὑποκρίνεσθαι κατὰ τὸ ἐγχωροῦν.

Περὶ τοῦ Μεσίτου.

Περὶ μὲν τοῦ μεσίτου (τοῦτο γὰρ πρῶτον προβάλλεται) θαυμάζω εἶναι τινὰς, καὶ χριστιανοὺς εἶναι νομίζοντας μετὰ τὴν ἀνάληψιν μὴ εἶναι μεσίτην τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. αἰσχύνεται δηλονότι μεσιτεύειν Θεὸς ὤν· οὐκ ἦν ἄρα καὶ πρὸ τῆς ἀναλήψεως Θεός· εἰ τότε μὲν μετὰ σαρκὸς ἐμεσίτευε ἢ ἐμεσίτευσε, μετὰ δὲ τὴν ἀνάληψιν, τὴν ἀνθρωπίνην ἀποβαλλόμενος φύσιν, γυμνὸς πάλιν ἀπῆλθε Θεός, ὡς πρὸ τῆς κατὰ σάρκα οἰκονομίας· ἄρα ᾐσχύνθη τὴν πεπονθυῖαν φύσιν φέρειν Θεός; ἀλλὰ καὶ ἀνέστη μετὰ δόξης, καὶ μετ' αὐτῆς ἐν δόξῃ ἀνελήφθη, καὶ μετ' αὐτῆς ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ τὸν αὐτὸν ἐλεύσεσθαι τρόπον, καθ' ὃν καὶ ἀνελήφθη (ἀγγέλων φωνή) καὶ μετὰ σαρκὸς ὀφθήσεται ἐν δόξῃ· καὶ τὰ στίγματα φέρει ὥς τινας ὑπερβαλλούσης ἀγάπης ὡραιοτάτους αὐγάς, μεθ' ὧν καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐμφαίνεται τῷ πατρὶ τῆς πρὸς τὸν πατέρα μέχρι θα-

νάτου

νάτου ὑπακοῆς, καὶ τῆς περὶ τὰ πλανηθέντα πρόβατα μέχρι θανάτου στοργῆς τὰ τεκμήρια φέρων, καὶ ἐπὶ τούτοις ἐγκαλλωπιζόμενος· τίς γὰρ ἠνάγκασε Θεὸν κενωθῆναι τῆς ὑπερθέου δόξης, τὰς ἀψῖδας κλίναντα τὰς οὐρανούς, ἐπὶ τὴν γῆν κατεληλυθέναι, ἐνανθρωπηκέναι, παθεῖν, εἰ αἰσχύνη ἦν τὸ πρᾶγμα Θεῷ; δόξαν ὑπερβάλλουσαν ἡγήσατο τὸν σταυρὸν ὁ Σωτήρ, καὶ τιμὴν τὴν ἀτιμίαν, καὶ ὕψωσιν τὴν ταπείνωσιν· οἷόν τις ἐραστὴς ὑπερφυὴς ἐμπομπεύων ἐφ' ὧν διὰ τὸ ἐρᾶν πέπονθε πληγῶν· ἔρωτι τετρωμένην (ὡς φησὶν ἐν τοῖς ᾄσμασιν ἡ θεία γραφὴ) τὴν καρδίαν, ἔρωτι δεικνύων δι' ὧν ὑπέστη, καὶ φέρει τραυμάτων ἐν σαρκί· οὐκ αἰσχύνη, ἀλλὰ δόξα καὶ ἡδονὴ τῷ ἐραστῇ τὰ τοῦ ἔρωτος· ἀγωνίζεται γὰρ ἐμφυτεῦσαι τῷ ἐρωμένῳ ὑποθέσεις καὶ θέλγητρα ἔρωτος· καὶ οὐκ ἀποβάλλεται ὥσπερ δι' ἄκραν ἀγάπης ὑπερβολήν, καὶ φιλανθρωπίας ἀνελάβετο, καὶ μεθ' ἧς ἡνώθη φύσεως εἰς ὑπόστασιν μίαν· οὐκ ἐπαισχύνεται τοῦ πατρικοῦ θελήματος τὴν ἐκπλήρωσιν, καὶ τὰς τῆς ἐκπληρώσεως ἐμφάσεις· οὐκ ἐπαισχύνεται τῆς πρὸς τὸ οἰκεῖον πλάσμα στοργῆς τὰς ἐνδείξεις, τῆς ἰδίας φιλανθρωπίας τὰς ὑπερβολάς· παίζουσιν ἄρα, καὶ ἀργοὶ μανθάνουσι φλυαρεῖν, οἱ μὴ φρονοῦντες μετὰ τὴν ἀνάληψιν Μεσίτην τὸν Σωτῆρα Χριστόν· τίνος γὰρ χρείαν ἀπεσκευάσατο μετὰ τὴν ἀνάληψιν τὸ τῆς μεσιτείας ὁ Χριστός, δι' ὃ καὶ κατέβη καὶ ἡνώθη σαρκί, σαρκὶ δὲ ἐμψυχωμένῃ ψυχῇ λογικῇ καὶ νοερᾷ (προσεπιδηλῶσαι γὰρ τοῦτο καταναγκάζουσι τὰ Ἀπολιναρίου ληρήματα) τίνος οὖν χάριν οὐ Μεσίτης ὁ Χριστὸς μετὰ τὴν ἀνάληψιν; ἆρα Μεσίτου χρεία μετὰ τὴν ἀνάληψιν οὐδεμία; καὶ τίς οὕτως ἀνόητος, ὥστε τοῦτο ἐρεῖν; ἆρα χρεία μέν, ἄλλος δὲ ἐκπληροῖ παρὰ τὸν Σωτῆρα Χριστόν; καὶ τίς ἐστιν ὁ τηλικοῦτος, ὅστις Χριστοῦ ἐνανθρωπήσαντος, παθόντος σαρκί, μετὰ σαρκὸς ἀναστάντος, ἀναληφθέντος ἐν δόξῃ, καθεζομένου ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ πατρός, αὐτὸς ἄλλος παρὰ τοῦτον καταλλάττει τοὺς ἁμαρτάνοντας τῷ Θεῷ; καὶ τίς ὁ τὴν μεσιτείαν ταύτην διαμερίσας Χριστῷ, καὶ τῷ μετὰ Χριστὸν ἀναληφθέντι μεσίτῃ, ἢ τίς ὁ ἔφορος τῆς καταλλαγῆς; τίς δὲ ἡ καταβαλλομένη τιμὴ καὶ τὸ λύτρον; ἆρα ἄλλο αἷμα κρεῖττον λαλοῦν παρὰ τὸ Ἄβελ; ἢ χωρὶς αἱματεκχυσίας προσγίνεται ἄφεσις; καὶ λέληθε τὸν ἀπόστολον τοῦ Χριστοῦ ἐπιστέλλοντα Ἑβραίοις, καὶ λέγοντα, Μὴ γίνεσθαι χωρὶς αἵματος ἄφεσιν; Μηδεὶς ἀδελφοὶ μηδεὶς νομισάτω ἄλλον εἶναι, ἢ δύνασθαι ἄλλον εἶναι μεσίτην ἀπὸ καταβολῆς κόσμου παρὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· μόνος Σωτὴρ καὶ μόνος σωτηρία, καὶ μόνος μεσίτης ὁ Χριστός· Οὗτος ἐστὶ τὸ ἀρνίον τὸ ἐσφαγμένον (φησὶν ὁ Ἰωάννης) ἀπὸ καταβολῆς κόσμου. Οὐκ ἔστιν ὄνομα ἕτερον (φησὶν ἡ θεία γραφὴ) ἐν τῷ οὐρανῷ ἄνω, οὐδ' ἐπὶ τῆς γῆς κάτω, ἐν ᾧ ἡμᾶς σωθῆναι δεῖ, εἰ μὴ τὸ εὐλογημένον καὶ σωτήριον ὄνομα Ἰησοῦ Χριστοῦ. Οὗτος ὁ μέγας ἀρχιερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· ἕνα Μεσίτην οἶδεν ὁ Παῦλος οὕτως βοῶν. Εἷς Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν· ἐπεὶ πρὸ τῆς ἀναλήψεως καταβάς, καὶ χρηματίσας ἄνθρωπος, μεμενηκὼς Θεός, γέγονε μεσίτης· ἐπεὶ μετὰ τὴν ἀνάληψιν μεμενηκὼς ἄνθρωπος καὶ μὴ ἐκστὰς τῆς θεότητος, ἔστιν ὃ γέγονε μεσίτης Θεοῦ καὶ ἀνθρώπων· ὁ Θεὸς καὶ ἄνθρωπος, ὁ ἄνθρωπος καὶ Θεός· μετὰ τὴν ἀνάληψιν τοιοῦτον ἔλεγε Παῦλος, Τοιοῦτον ἔχομεν ἀρχιερέα (τὸν διεληλυθότα τοὺς οὐρανοὺς λέγει) ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλοσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργός, καὶ τῆς σκηνῆς ἧς ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος· ἐν τοῖς οὐρανοῖς φησὶν ἐκεῖ ἀρχιερεύς, ἐκεῖ καὶ μεσίτης λοιπὸν ὁ Χριστός· οὐ προσκυλινδούμενος μέντοι (ὡς ἄν τις ὑποτοπάσειε ταχέως οὕτως καὶ δουλοπρεπῶς)

Ἆσμ. ε.

Ἑβραίοις θ.

Ἀποκάλ.

Πρὸς Τιμόθεον α. κεφάλ. β.

πρεπῶς) τοῖς τοῦ πατρὸς ποσὶ καὶ μεθ' οἰκογμῶν καὶ δακρύων ἱκετηρίων περὶ ὧν πρεσβεύει· Ἑβραι. ε. " τοῦτο γὰρ πεποίηκεν ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, ἱκεσίας καὶ δεήσεις ἀνενεγκὼν μετὰ " δακρύων καὶ κραυγῆς ἰσχυρᾶς, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, ὅτι καίπερ ὢν υἱὸς, ἔ- " μαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, ὅτε καθάπαξ ἑαυτὸν προσενήνοχε τῷ πατρὶ, τότε τοίνυν δάκρυα χέας καὶ ἐπὶ πρόσωπον πεσὼν, θρόμβους αἵματος ἱδρώσας, δούλου γὰρ ἀνέλαβε μορφὴν, καὶ διακονῆσαι παραγέγονε, καὶ θῆναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· ἡ οὖν τῶν πραγμάτων κατάστασις, ὁ τῆς ἀδοξίας καιρὸς, ὁ τῶν παθῶν καὶ τοῦ θανάτου, ἔχειν ἐφάπαξ τὰ δουλοπρεπῆ ῥήματα, τὰ πάθη, τὰ δάκρυα, τὴν ταφὴν μετὰ τὸν σταυρόν· νῦν ἡ δόξης καὶ τιμῆς ἀποκατάστασις τῆς πεπονθυίας φύσεως, ἡ τῶν αὐχημάτων τῆς θείας φύσεως μετοχὴ καὶ πλουτισμὸς μεθ' ἧς ἡνώθη εἰς ἄκραν ἕνωσιν φύσεως ἀποβάλλει μὲν τὰ πάθη καὶ τὴν δουλοπρεπῆ πᾶσαν ἔννοιαν· οὐκ ἀποβάλλει δὲ τὴν ἐκ τῶν παθῶν ἐνέργειαν· γέγονε γὰρ ἐνανθρωπήσας ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ μεσίτης· καὶ πέπονθε σαρκὶ μεσιτεύων, καὶ σωτηρίαν αἰώνιον τοῖς πιστεύουσιν, ἐδωρεῖτο μετὰ παθῶν δίχα παθημάτων νῦν, ὅπερ γέγονε μεσίτης, δηλαδὴ σωτηρίας αἴτιος αἰωνίου τοῖς πιστεύουσιν· ὃ " γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ νῦν ζῇ, τῷ Θεῷ ζῇ εἰς τὸ ἐντυγχάνειν " ὑπὲρ ἡμῶν· τὸ οὖν εἶναι ὃ γέγονε, μεσιτεύειν ἐστί· καίπερ ὢν ἐν δόξῃ νῦν, ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, δηλαδὴ δόξῃ καὶ τιμῇ ἐστεφανωμένος, ὁ διὰ τὸ πάθημα τοῦ θανάτου, βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένος Ἰησοῦς ὁ υἱὸς τοῦ Θεοῦ, προσκυνούμενος ὑπὸ " τῶν Ἀγγέλων, Καὶ προσκυνησάτωσαν γάρ φησιν αὐτῷ, πάντες ἄγγελοι Θεοῦ· περὶ οὗ γέγραπται, κάθου ἐκ δεξιῶν μου· ἱεροπρεπὴς οὖν ὁ τῆς ἐκεῖ μεσιτείας τρόπος· ἐμφανίζει " γὰρ αὐτὸν τῷ προσώπῳ τοῦ Θεοῦ. Ἐκάθισε φησὶν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ πατρός· τοῦτο αὐτὸ " ἐμφαίνων, δηλαδὴ ἑαυτὸν ἐνανθρωπήσαντα καὶ πεποιηκότα τὸ τοῦ πατρὸς θέλημα· ἐν ᾧ θελήματι ἡγιασμένοι κατὰ Παῦλον· καθίσας οὖν ἐν δεξιᾷ τοῦ πατρὸς ἐν ὑψίστοις οὕτως ἑαυτὸν ἐμφανίζει τῷ πατρὶ, μεσίτης ὢν ἡμῶν καὶ παράκλητος· Ἐὰν γάρ φησιν ἁμάρτω- " μεν, ἔχομεν παράκλητον πρὸς τὸν πατέρα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δίκαιον, καὶ " αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ " περὶ ὅλου τοῦ κόσμου· ὃς καὶ ἐκάθισεν ἐν δόξῃ, συνανυψώσας ἑαυτὸν τὴν ὑμῶν φύσιν· " Καὶ συνανύψωσε γάρ φησι καὶ συνεδόξασεν· οὗτος ὁ καθήμενος ἐν δόξῃ οὗτος ἐστὶν ὁ Με- " σίτης ἡμῶν· ἔχει γὰρ (Παύλου φωνὴ) τὴν ἱερωσύνην ἀπαράβατον· ζῶν τε πάντοτε (ὡς " αὐτὸς ἔφη) εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν, σώζειν τε δυνάμενος (καὶ δὴ καὶ σώζων) τοὺς προσερχομένους αὐτῷ, τὰ τῆς μεσιτείας οὕτως ἐκπληροῖ· ἑαυτὸν ἐμφαίνων τῷ πατρὶ (τοῦτο γὰρ τὸ ἐντυγχάνειν) καὶ σώζων τοὺς προσερχομένους αὐτῷ· δι' αὐτοῦ γὰρ ἔχομεν τὴν προσ- Ἰωάν. ιδ. " αγωγήν· καὶ καθὼς αὐτὸς ἔφη, Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ· εἰ μὴ " γὰρ ἐστὶ καὶ μετὰ τὴν ἀνάληψιν μεσίτης ἡμῶν ὁ Χριστὸς, ὁ Σωτὴρ μόνος ὢν, ἁμαρτάνοντες δ' ὡς ἀσθενεῖς ἡμεῖς, ἐδεήθημεν (ὥσπερ δὴ καὶ δεόμεθα οἱ ἁμαρτωλοὶ) ἐδεήθημεν εἰπάτωσαν τίνος; ὁρᾷς ποῖ βαράθρων ὠθοῦσι τοὺς ὑποσύροντας οἱ λόγοι; ταπεινὰ καὶ ἀνάξια Χριστοῦ (ἵνα μὴ βλάσφημα λέγω) φρονοῦσι περὶ Χριστοῦ, οἱ τὴν μεσιτείαν αὐτοῦ ἀφαιρούμενοι μετὰ τὴν ἀνάληψιν· μὴ νοοῦντες τὸν αὐτὸν καθήμενον ἐν δόξῃ, ὃ καὶ Στέφανος Ἑβραι. θ. " εἶδε, καὶ Παῦλος μαρτυρεῖ, ἐντυγχάνειν ὑπὲρ ἡμῶν. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλ- " θεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ " προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· ἐκεῖ οὖν καθήμενος ἐντυγχάνει μεθ' ἡμῶν δὲ ὢν μέχρι

τῆς

τῆς συντελείας τοῦ αἰῶνος, ἐν τοῖς μυστηρίοις καὶ μετὰ τῶν οἰκονόμων τῶν μυστηρίων, καὶ δι' αὐτῶν ἐνεργεῖ τὴν τῶν ἀνθρώπων σωτηρίαν· ὃν οὖν, καὶ ἔστι, καὶ ἔσται, ὁ Χριστὸς, χθὲς καὶ σήμερον καὶ εἰς τοὺς αἰῶνας μεσίτης ἡμῶν, παράκλητος, σωτήρ, οὔτε τὴν φύσιν ἣν προσέλαβεν ἑαυτῷ καθ' ἄκραν ἕνωσιν εἰς μίαν ὑπόστασιν ἀσυγχύτως συνάψας ἀποβαλὼν μετὰ τὴν ἀνάληψιν, οὔτε τὸ μεσιτεύειν καὶ ἐντυγχάνειν ὑπὲρ ἡμῶν δι' ὃ ἐνηνθρώπησεν ἀποσκευασάμενος· καὶ περὶ μὲν τούτων ἅλις.

Περὶ τῆς τῶν παλαιῶν εἰκονογραφίας.

Τὸ δὲ τὴν εἰκόνα τοῦ παλαιοῦ ἐξεικονίζειν χρώμασι καθὰ καὶ ῥήμασιν ὁ προφήτης ἐζωγράφησεν, οὐκ εὐθὺς ἀσεβής· ὁρατὰ γὰρ τὰ ὁραθέντα νοοῦσιν οἱ εἰκονίζοντες· οἱ δὲ τὴν ἀσχημάτιστον φύσιν σχηματίζοντες, ἁμαρτάνουσιν· οὐκ ἀσεβὲς οὖν ἐστιν ἁπλῶς οὕτως τὰ ὁραθέντα τοῖς ἱεροῖς προφήταις ἐξεικονίζειν· ἀλλ' ὤφθησαν ἐκείνοις, μὴ φρονοῦντας γε περιγραπτὸν τὸ ἀπερίγραπτον· ἀλλὰ κἀν ταῖς εἰκόσι φυλάττειν δεῖ τῆς εὐσεβείας τὸ φρόνημα, καὶ μετ' εὐλαβείας καὶ σωφροσύνης, καὶ εἰκονογραφεῖν τὰς ἱερὰς εἰκόνας, καὶ ἀσπάζεσθαι· ἵνα καὶ εὐλαβείας ὑπομνήματα ὦσι, καὶ ὑποχρώματα ἀρετῆς, εἰς ἀνάμνησιν ἢ μίμησιν τῶν πρωτοτύπων ἐξεγείροντα τοὺς θεωμένους· οὐκ ἀσεβὲς οὖν τὰς ἱερὰς ὁράσεις τῶν θείων προφητῶν ἐγχαράττειν χρωματουργοῦντας· σωφρονέστερον δὲ ἐξεικονίζειν τὰ πραγματικῶς φανέντα, ἵνα μὴ εἰκόνες εἰκόνων πλάττειν δόξωμεν καὶ περιέπειν ἀνύπαρκτα· πανταχοῦ δὲ τὰς καταχρήσεις παραιτούμενοι, τὴν Ἐκκλησίαν ἀδιαίρετον τηρεῖν πειρατέον· φέρειν ἀνάγκη τῶν ἀσθενεστέρων τὴν βραδύτητα· οὓς καταρτίζειν πνευματικῶς ἐν μακροθυμίᾳ, ἐν πνεύματι πραότητος, μὴ πειρασθῶμεν καὶ αὐτοὶ, παρηγγέλθημεν.

Περὶ τῶν σιμωνιακῶν.

Ἀπαιτεῖν δὲ τοὺς ἱερεῖς ὀβολοὺς ἐφ' ὠνίου τῶν μυστηρίων ἀπηγόρευται· δωρεὰν γὰρ λαβόντες, δωρεὰν δοῦναι προστετάγμεθα· παρέχειν δὲ τοῖς ἱερεῦσιν ἐλεημοσύνας, καὶ ταύτας αὐτὸν λαμβάνειν προσεδρεύοντας καὶ τῷ θυσιαστηρίῳ συμμεριστὰς ὄντας, οὐκ ἄτοπον, ἀλλὰ καὶ δίκαιον, καὶ ἐπάναγκες. Τὴν δὲ πνευματικὴν ἐκτελεῖν ὑπηρεσίαν, τουτέστιν ἀναδέχεσθαι τὰς τῶν μετανοούντων ἐξομολογήσεις, ἐκείνοις ἀνήκει, οἷς τοῦ δεσμεῖν τε καὶ λύειν τὴν δύναμιν καὶ σύνεσιν παρέθετο ὁ Σωτήρ· τουτέστι τοῖς ἱερεῦσι, καὶ ἱερεῦσιν, οὓς ἂν οἱ ἀρχιερεῖς δοκιμάσωσι· κρεῖττον δ' ἂν εἴη τοῖς ἐπιτεταγμένοις τῷ βίῳ, καὶ οὐ τοῖς ἀνακεχωρηκόσι τῶν ἐν ἄστει διατριβῶν τὸ λειτούργημα τοῦτο πιστεύεσθαι· τῶν γὰρ πνευματικῶν πνευματικωτέρας εἶναι δεῖ τὰς διατριβὰς καὶ τὰ ἐπαγγέλματα· πάντες μέντοι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν πνεύματι ἄγεσθαι Θεοῦ, καὶ πιστεύομεν, καὶ ὀφείλομεν· κρεῖττον δὲ ὅμως οἱ τῶν μυστηρίων οἰκονόμοι, οἱ τῶν πνευματικῶν τοῖς ἄλλοις ὑφηγηταί· καὶ τούτων πάλιν ἀκριβέστερον, οἱ τὸν μονήρη βίον ἀσπαζόμενοι· οὗτοι μέντοι καὶ ἀσφαλέστερον θεραπεύσαιεν τῶν ἀσθενούντων τὰ τραύματα, καὶ ἀξιοπιστοτέρως ἐπάξουσι τὰς ἰατρείας· οὐχ' ὅτι τοῖς ἱερεῦσιν ἀπηγόρευται ὅταν ἄξιοι ὦσι, καὶ θεωρίᾳ καὶ πράξει καὶ ἡλικίᾳ προβεβηκότες, καὶ παρὰ τῶν ἀρχιερέων λάβωσιν ἔκδοσιν· τοῦτο δὲ βούλομαι πάντας οὐκ ἀγνοεῖν, ὅτι τὸ χρῆμα τοῦτο ἐστι χαλεπώτατον· τραύματα γὰρ ἀτραυματίστως θεραπεύειν (ἐπαγγέλλεται δὲ τοῦτο ὧδε ἡ πραγματεία) καὶ ψυχικὰς νόσους ἰᾶσθαι, ἐξαίρειν τε τὸν ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μὲν εἶναι Θεοῦ, ἔστι δ' ἀμφίκειμενον τὸ πρᾶγμα, μὴ ἀφικνουμένων ἡμῶν εἰς τὰ ἄδυτα τῶν παθῶν καὶ ἐνδομυχοῦντα ἐν ταῖς καρδίαις, ἢ μὴ τοῦτο δυναμένους πράττειν ἀβλαβῶς· δεῖ οὖν καὶ συνέσεως τοῖς ἐπιχειροῦσι καὶ πράξεως· πρὸς δὲ τῇ βοηθείᾳ καὶ ὁδηγίᾳ τῇ παρὰ Θεοῦ, καὶ φυλακῆς δεῖ τῆς ἀκριβεστάτης, καὶ ζήλου θείου ἀκαμάτως ἀγρυπνοῦντας ὑπὲρ τῆς σωτηρίας τῶν πολλῶν· μή ποτε θεραπεύειν ἄλλους ἐπιχειροῦντες, νόσους αὐτοὶ καὶ κῆρας ἐπισπάσονται

Περὶ ἐξομολογήσεως.

σονται

σωνται παθῶν· ἀλλὰ καὶ αἰσχροκερδείας ἐν τούτῳ μάλιστα καθαρεύειν ἀνάγκη, μὴ λάθωμεν συμβρεῖς τὰς τῶν ἁμαρτημάτων εἰσόδους παρασκευάζοντες· εἰ εὔνοιαν πορθῶμεν χρυσίοις καὶ ἀργυρείοις τὴν ἴασιν· οἶδα τί λέγω, καὶ δέδια· καὶ τοῖς ἰατροῖς εὔχομαι ὑγείαν, καὶ ἰσχὺν, ὥστε καὶ θεραπεύειν, καὶ μὴ νοσηλεύεσθαι· ὡς ἔστιν ἀμήχανον ἐμφιλοχωρεῖν τοῖς δυσώδεσι καὶ μὴ δυσωδίας μεταλαβεῖν· οἱ δὲ ἐπὶ χρήμασι τὴν ἐπαγγελίαν μετιόντες, τὴν Γιεζῆ λέπραν διὰ μνήμης ἐχέτωσαν.

Περὶ τῆς περὶ τοῦ προδρόμου νηστείας.

Τὴν τῆς ἀποτομῆς δὲ τοῦ τιμίου Προδρόμου μνήμην, καὶ ἡμεῖς διὰ νηστείας ἑορτάζομεν, παραλαβόντες τοῦτο παρὰ τῶν γερόντων, καὶ παραδιδόντες· ἀλλὰ καὶ τῶν τύπων οὕτως ἀπηγόρευσαν αἱ διατάξεις, καὶ τοῦτο μὲν κρεῖττον ἡγούμεθα· Εἰ δὲ τινες ἱλαρόν τι (ἵνα μὴ ἐμπαθέστερον εἴπω) διανοούμενοι, ἀβρωδίαστον πανηγυρήσωσιν, οὐκ εὐθὺς ἀποσχοινίσωμεν ἀδελφοὺς ὄντας τοὺς τοιούτους· «Οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα· καὶ γὰρ οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις ἢ πόσις, ἀλλ' ἀλήθεια· καὶ δὴ τὸν ἐσθίοντα οὐ κρίνομεν, οἱ μὴ ἐσθίοντες, ἀποστολικὸν δὴ πάντως τὸ παράγγελμα.

Περὶ Μουσικῆς.

Τί δὲ καὶ περὶ Μουσικῆς ἐροῦμεν; ὅτι γεραίρομεν τὸ θεῖον καὶ διὰ ζώσης φωνῆς, οὐ καὶ φωνῶν· καὶ γὰρ πού τις ᾄδει τῶν ἡμετέρων πρὸς Θεὸν, Ὅσα γὰρ φωνὰς, τόσα καὶ σιγὰς, αἴνεις νοερᾶς· καὶ τὴν φωνὴν οὖν οὐ φωνὰς οὐκ ἀποδοκιμάζομεν, μόνον ἀπηρεία, καὶ ἀσχημοσύνη πᾶσα· «Ψάλλατε γὰρ φησὶ τῷ Θεῷ οἱ ὅσιοι αὐτοῦ· πλὴν μονοφώνῳ ψαλμῳδίᾳ, ἢ πολυφώνῳ ἁρμονίᾳ τὰ θεῖα καταγεραίρειν, οὐκ ἄμουσον, πρὸς τὴν τῆς χώρας ἑκάστης συνήθειαν, ἵνα μὴ σκανδαλίσωμεν ἢ σκανδαλισθῶμεν· Τὰς δὲ δι' ὀργάνων ἀψύχων βομβὰς, καὶ ψόφους, καὶ Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς ἀποδοκιμάζει, κοὐδέποτε τῇ Ἐκκλησίᾳ τῇ Ἀνατολικῇ τὸ τούτων μελῴδημα εἰσεκρίθη· καὶ τυχὸν πιστεύων ἦν ὀργάνων τὸ συγκροτηθὲν ᾆσμα τῶν ἐγκαινίων τῆς εἰκόνος τῆς χαλδαϊκῆς, Ναβουχοδονόσορος προστάγματι εὐφημούμενον· τοὺς φιλοθέους ἄνδρας ταῖς παρὰ Θεοῦ χορηγουμέναις τῇ τῶν ἀνθρώπων φύσει φωναῖς· ἐπαινεῖν δὲ τὴν μουσικὴν ὅτι τῇ ἁρμονίᾳ τὰς ψυχὰς κινοῦσα θεραπεύει (ἐχ ὅτι ἁρμονία τις οὖσιν ἡ ψυχὴ ὥς πού τις ἐφαντάσθη, καὶ τῷ ὁμοίῳ χαίρουσα) ἀλλὰ τῇ συμμετρίᾳ τερπομένη, οὐ θεραπεύεται τὴν ἀσθένειαν, ἢ τὸ νωθρὸν ἐγείρεται, ἢ ἀναψύχει τὴν ἀθυμίαν, ἢ συστέλλεται τὸ οἰδαῖνον· Τοῦτο τοίνυν ἐποίει εἶν οὐ τοῦ παρόντος καιροῦ, τῆς ἀθυμίας καὶ τῶν κινδύνων συστελλόντων ἡμᾶς, καὶ ἀπειργόντων, οὐ μόνον τοῦ γράφειν, ἀλλὰ καὶ τῆς ἀναπνοῆς αὐτῆς· ἤρκει μὲν οὖν τὰ πολλὰ καὶ ποικίλα καὶ μεγάλα τῶν πόνων καὶ μόχθων κύματα τῷ ὑμετέρῳ μικρῷ τε σκάφει καὶ ἀσθενεῖ· ἐπειδὴ δὲ τοῦτο ταῖς ἁμαρτίαις ἡμῶν συγκεχώρηται, φέρομεν γενναίως ἐν τῷ ἐνδυναμοῦντι Χριστῷ· ἔχετε τὰς ἐπὶ ταῖς ἀμφισβητήσεσι λύσεις τέως περιπόθητα ὡς οἷόν τ' ἦν συντομώτερόν τε καὶ ἐξεργαστικώτερον· Ὑμεῖς δὲ οὐδέποτε ἄλλοτε, ἀλλὰ νῦν μαθόντες τὰ καθ' ἡμᾶς, μή μοι κόπους παρέχετε παρακαλῶ μὴ δυναμένῳ συχνοτέρας ἐκπέμπειν ἐπιστολὰς, ἐν πολέμων καιρῷ, μέχρις ἂν τῶν τῆδε ἀπαλλαγῶμεν εἰ νεύσειε Θεός· ὑμεῖς δὲ μὴ πολυπραγμονῆτε μηδὲ σχολάζητε ζητήσεσιν, ἐξ ὧν μάχαι, καὶ παραδιατριβαὶ, καὶ λογομαχίαι, καὶ διαιρέσεις, τὰ μὴ ἀνήκοντα ταῖς Ἐκκλησίαις τοῦ Χριστοῦ· Δώη δὲ ὑμῖν Κύριος τὸ αὐτὸ φρονεῖν, ἐν πᾶσί τε συμφώνους εἶναι καὶ ὁμοψύχους, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ καὶ Θεῷ καὶ Σωτῆρι ἡμῶν, μνημονεύοντας καὶ τῆς ταλαιπωρίας ἡμῶν τῶν αἰχμαλώτων· ὁ Κύριος μεθ' ὑμῶν, ἀμήν. ζρϛ.

Τέλος καὶ τῷ Θεῷ δόξα.